On the Composition of Drugs by Places: Book 7 by Galen of Pergamon

13.1 *ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΣΥΝΘΕΣΕΩΣ ΦΑΡΜΑΚΩΝ ΤΩΝ ΚΑΤΑ ΤΟΠΟΥΣ ΒΙΒΛΙΟΝ Η.*

Ἔθος ἐστὶ τοῖς νεωτέροις ὀνομάζειν ἀρτηριακὰς, μὴ προστιθεῖσι πότερον ἀντιδότους λέγουσιν ἢ κατὰ σημαινόμενον ἕτερον. ἔνιοι δὲ ἐκλεικτὰ προσαγορεύουσιν αὐτὰ μὴ προστιθέντες φάρμακα, καί τινες μὲν ὅλως οὐδένα διορισμὸν αὐτοῖς προσέγραψαν, ἔνιοι δὲ ὀλιγάκις προσέθηκαν, οἱ μὲν πρὸς ἀποκεκομμένην φωνὴν, οἱ δὲ γενικώτερον ἔτι πρὸς
13.2 βεβλαμμένην φωνήν. εἰσὶ δὲ οἳ πρὸς τετραχυσμένην ἀρτηρίαν καὶ πρὸς ἡλκωμένην ἔγραψαν, ὥστε εὐλόγως οἱ χρώμενοι ταῖς ἀρτηριακαῖς, φαρμάκοις ὀνομαζομένοις ἀδιορίστως, ἐνίοτε μὲν ἐπιτυγχάνουσιν, ἐνίοτε δὲ οὐδὲν ὅλως ὠφελοῦσι τοὺς πάσχοντας, ἀλλὰ βλάπτουσι τὰ μέγιστα. πρόδηλον δ' ὅτι τὴν τραχεῖαν ἀρτηρίαν ἐπὶ τῶν τοιούτων παθῶν αἰτιῶνται. πάλαι μὲν οὖν, ὁπότ' οὐδὲ τὰς ὁμοίως τῇ καρδίᾳ σφυζούσας ἀρτηρίας οὕτως ὠνόμαζον, ἐπὶ μόνης τῆς ἐκ τοῦ πνεύμονος ἀνισχούσης εἰς τὸν λάρυγγα τὸ τῆς ἀρτηρίας ἐπέφερον ὄνομα, φλέβας ὀνομάζοντες τοὐπίπαν, ὥσπερ τὰς ἄλλας ὅσαι μὴ σφύζουσιν, οὕτω καὶ τὰς σφυζούσας. ὕστερον δὲ τῆς προσηγορίας ἐθισθείσης ἐπὶ τῶν σφυζουσῶν λέγεσθαι, διὰ τὴν ὁμωνυμίαν προσθέντες τὸ τῆς τραχείας ὄνομα τὴν εἰς τὸν πνεύμονα καθήκουσαν ἐκ τῆς λάρυγγος ἀρτηρίαν οὕτως ὠνόμασαν, ἅμα τῷ καὶ βρόγχον αὐτὴν καλεῖν, ἐπειδὴ τὰ χονδρώδη σώματα, τὸ πλεῖστον τῆς οὐσίας αὐτῆς μέρος ὄντα, βρογχία προσαγορεύουσιν. ὑπαλείφει δὲ τὴν ἀρτηρίαν αὐτὴν ἔνδοθεν παχὺς ὑμὴν, ὃν διὰ τὸ πάχος ἔνιοι χιτῶνα προσαγορεύουσιν. ὅταν οὖν τι πάθος
13.3 ἤτοι κατὰ τοῦτον ἢ κατὰ τοὺς ἐν τῷ λάρυγγι γένηται μῦς, ἀρτηριακὰς ὀνομάζουσι τὰς ἰωμένας αὐτὰ, μὴ προστιθέντες, ὡς ἔφην, ἀντιδότους. ἀνόμοιαι δὲ κατ' εἴδη ταῖς δυνάμεσίν εἰσιν αἱ γεγραμμέναι πρὸς αὐτῶν, καὶ διὰ τοῦτο συμβαίνει τοὺς χωρὶς διορισμοῦ χρωμένους αὐταῖς ἀποτυγχάνειν τοῦ σκοποῦ πολλάκις. ὅτι δὲ πολλή τίς ἐστιν ἡ διαφορὰ τῶν γεγραμμένων ἐν ταῖς φαρμακίτισι βίβλοις ὑπὸ τῶν ἰατρῶν, ἔνεστί σοι μαθεῖν ἐκ τριῶν παραδειγμάτων, ὧν τὸ μὲν ἀδηκτότατόν ἐστι καὶ

ἀκριβῶς ἐμπλαστικὸν ἐκλεαῖνον τὰς τραχύτητας, τὸ δ’ ἐναντίον τῷδε δριμύτητος δακνώδους οὐκ ὀλίγον ἔχον, ὡς ἐὰν ἀκριβῶς ὑγιαίνοντι μορίῳ προσαχθῇ, τραχύνειν αὐτό. μέσον δὲ ἀμφοῖν τῶν εἰρημένων ἐστὶν ἄλλο γένος φαρμάκων ἀρτηριακῶν, ἀδήκτου ῥυπτικῆς δυνάμεως. τὸ μὲν οὖν ἐμπλαστικὸν ἔστι διὰ γλυκέος Κρητικοῦ καὶ κόμμεως καὶ τραγακάνθης καὶ γλυκυρρίζης κατασκευαζόμενον, τὸ δὲ δριμὺ διὰ πεπέρεως καὶ κασσίας καὶ κινναμώμου καὶ χαλβάνης καὶ ῥητίνης τερμινθίνης. τὸ μέσον δὲ ἀμφοῖν ἐκ πτισάνης χυλοῦ καὶ ἀμυγδάλων καὶ
13.4 κυάμων ἔτνους, ὅσα τε ἄλλα τοιαῦτα. μεταξὺ δὲ τοῦ μέσου καὶ τῶν ἄκρων ἑκατέρου πλείω φάρμακά ἐστι, τὰ μὲν μᾶλλον, τὰ δὲ ἧττον ἀποκεχωρηκότα τοῦ μέσου. περὶ ὧν ἐφεξῆς διοριῶ, τοὺς μὲν προσθέντας τινὰ διορισμὸν ἐπαινῶν, τοὺς δὲ ἁπλῶς προσγράψαντας οὐκ ἀποδεχόμενος. ἐν τῷ μέσῳ δ’ ἀμφοῖν εἰσιν οἱ διορισμοὺς ἐλλιπεῖς ποιησάμενοι, ὁποῖός ἐστι καὶ τῶν γραψάντων, ἀρτηριακὴ ἡ πρὸς ἀποκεκομμένας φωνὰς, ἢ πάλιν, ἀρτηριακὴ ἡ πρὸς τοὺς βραγχωδῶς φθεγγομένους. τό τε γὰρ ἀποκεκόφθαι τὴν φωνὴν, ὅπερ ἐστὶ μὴ δύνασθαι φθέγγεσθαι, πλείοσιν αἰτίαις ἕπεται, τοῦτο μὲν τοῖς ἀπὸ κεφαλῆς χρονίσασι κατάρροις, τοῦτο δ’ ἐμπύοις καὶ φθισικοῖς καὶ τοῖς ἐκ βοῆς μεγάλης καὶ πολλῆς παθοῦσιν, εἶτα μὴ καλῶς ἐκθεραπευθεῖσιν ἢ καὶ γεννωμένην ἔτι τὴν διάθεσιν ἔχουσιν. ὡσαύτως δὲ καὶ βραγχώδης ἡ φωνὴ γίνεται διά τε τὰς αὐτὰς αἰτίας καὶ διὰ ψυχροῦ πνεύματος εἰσπνοήν. ἡ μὲν οὖν διάθεσις ὁμογενής ἐστιν ἀφωνίας τε καὶ βράγχους, μεγέθει δὲ ἀλλήλων διαφέρει τὰ πάθη ταῦτα, σφοδρότερον μὲν καὶ
13.5 δυσλυτώτερον διαβρόχων ὑγρότητι γινομένων τῶν φωνητικῶν ὀργάνων ἡ ἀφωνίω, μετριώτερον δὲ ὑγρανθέντων ὁ βράγχος. ὄργανα δὲ φωνητικὰ λέγοντός μου τήν τε ἀρτηρίαν ἀκούετε καὶ τὸν λάρυγγα καὶ τὴν φάρυγγα. τοῖς μὲν οὖν ἐκ τοῦ βοῆσαι σφοδρῶς ἐπὶ πλεῖον κακωθεῖσι τὴν φωνὴν ὅμοιόν τι συμβαίνει πάθημα τῷ γενομένῳ πολλάκις ταῖς χερσὶ καὶ σκέλεσι καὶ ψόαις καὶ ῥάχει καὶ μυσὶ καμοῦσι πλείονα. καλοῦσι δ’ ἔνιοι τῶν γυμναστῶν τὴν τοιαύτην διάθεσιν τῶν μυῶν, ἐν οἷς συνίσταται, φλεγμονώδη κόπον. κατὰ μὲν οὖν ἀρτηρίαν ὁ ἔνδον αὐτῆς ὑμὴν ἢ χιτὼν ἢ ὅπως ἂν ὀνομάζειν ἐθέλοι τις, ὑπὸ τοῦ κατὰ τὰς μεγάλας φωνὰς πνεύματος ἔξω φερομένου πληττόμενος, εἰς τὴν φλεγμονώδη

διάθεσιν ἀφικνεῖται, πολλῷ δὲ μᾶλλον, ἐὰν πρὸς τῷ μεγέθει τῆς φωνῆς ὀξύτης τις ἔτι προσείη. κατὰ δὲ τὸν λάρυγγα πρὸς τῇ πληγῇ ταύτῃ καὶ ἡ τῶν κινούντων αὐτὸν μυῶν βλάβη τῆς ἐνεργείας μείζονα τὴν διάθεσιν ἐργάζεται. θεραπείας δὲ γένος αὐτῶν ἐπὶ παντὸς μορίου ταῖς ὕλαις

13.6 διαλλάττον ἐστίν. ἐλαίῳ μὲν γὰρ ἀνατρίβειν σκέλη καὶ χεῖρας καὶ ῥάχιν ἐγχωρεῖ ῥᾳδίως, διὰ τοῦ δέρματος εἰς τοὺς ὑποκειμένους αὐτῷ μῦς ἀφικνουμένης τῆς δυνάμεως αὐτοῦ. κατὰ δὲ τὴν τραχεῖαν ἀρτηρίαν οἱ χόνδροι μετὰ τὸ δέρμα τεταγμένοι κωλύουσι τὴν εἰς τὸν ὑποκείμενον ὑμένα δίοδον τῆς τῶν μαλαττόντων χρισμάτων δυνάμεως. ὥσπερ γὰρ ἔλαιον, οὕτω καὶ ἄλλα πολλὰ σύνθετα φάρμακα τὴν αὐτὴν ὠφέλειαν ἐργάζεται. καὶ τά γε κατ᾽ ἀρχὰς ἄκοπα λεχθέντα, μόνα ταῦτα κατὰ βραχὺ τὴν προσηγορίαν ἀφ᾽ ἑαυτῶν ἐξέτειναν ἐπὶ τὰ παραπλήσια ταῖς συστάσεσιν, κᾆν ἕνεκα τοῦ θερμῆναι σφοδρῶς παραλαμβάνωνται. κοινὴ δὲ ὕλη βοηθημάτων τοῖς φωνητικοῖς ὀργάνοις πρὸς τἆλλα ἐστὶν ἡ ἐκ τῶν λουτρῶν. εὔδηλον δ᾽ ὅτι τὴν διὰ τῶν γλυκέων ὑδάτων λέγω, τὰ γὰρ θαλάττια καὶ θειώδη καὶ στυπτηριώδη καὶ χαλκανθώδη καὶ ἀσφαλτώδη διὰ τὸ ξηραίνειν ἰσχυρῶς οὐκ ἐπιτήδεια. καὶ μέντοι καὶ ποιοῦσιν οὕτως οἱ φωνασκοῦντες, ὅταν ἀγωνιζόμενοι θραύσωσι τὴν φωνήν. εἰσὶ δ᾽ οὗτοι κιθαρῳδοί τε καὶ κήρυκες, οἵ τε τὴν τραγῳδίαν καὶ κωμῳδίαν

13.7 ὑποκρινόμενοι. λουτροῖς τε γὰρ πολλοῖς χρῶνται καὶ τροφὰς ἀδήκτους τε καὶ χαλαστικὰς ἐσθίουσιν. εἰ δὲ καὶ τραχύτητος αἰσθάνοιντο, τὰς ἐμπλαττομένας τοῖς ὁμιλοῦσι μορίοις παραλαμβάνουσιν. εἷς γάρ ἐστιν ἑαυτῷ χιτὼν συνεχὴς, ὅ τε ἐν τῇ φάρυγγι καὶ τῷ λάρυγγι καὶ στομάχῳ καὶ ἀρτηρίᾳ τῇ τραχείᾳ κατὰ τὰ ἔνδον ἐπιτεταμένος. ἐὰν δὲ μὴ καθίστηται τῇ τε διαίτῃ καὶ τοῖς λουτροῖς ἡ γενομένη διάθεσις ἐν τοῖς φωνητικοῖς ὀργάνοις, ἐπὶ τὰς ἀρτηριακὰς παραγίνονται, τροφαῖς χρώμενοι παρ᾽ ὅλον τοῦτον τὸν χρόνον, ὅσαι διὰ γάλακτος, ἀμύλου τε καὶ χόνδρου καὶ ὠῶν καὶ ἰτρίων σύγκεινται. εἰ δὲ μὴ διὰ τούτων ἐκθεραπευθείη, ἐξεύρηνται τοῖς ἰατροῖς αἱ πρὸς αὐτῶν ὑπογλωττίδες ὀνομαζόμεναι. εἰσὶ δὲ αὗται φάρμακα τῆς αὐτῆς ταῖς ἀφλεγμάντοις ἀρτηριακαῖς δυνάμεως, δι᾽ οἴνου θηραίου καὶ κόμμεως καὶ τραγακάνθης καὶ γλυκυρρίζης συγκείμεναι, ἅπερ, ὡς ἔφην, ἐκλεαίνει τε ἅμα καὶ ἀναστέλλει τὰς τραχύτητας. ὅσον δ᾽ ἂν ἐν τοῖς μέρεσιν ὑπολείπηται

φλεγμονῶδες, πέττει τε τοῦτο καὶ ταχέως ἐκθεραπεύει. φιλόπονον δ' εἶναι χρὴ τὸν ὑποτιθέντα τῇ γλώττῃ τὸ φάρμακον, ὡς κατὰ βραχὺ
13.8 τηκομένου δέχεσθαι τῷ λάρυγγι τὸ καταρρέον εἰς αὐτὸ, ἀνθιστάμενον τῇ γινομένῃ βηχί. καρτερήσαντες γὰρ ὡς μὴ βῆξαι συγχωρήσουσιν εἰς τὸν λάρυγγα καὶ τὴν ἀρτηρίαν καταρρυῆναί τι τοῦ φαρμάκου. λαμπρὸν μέντοι σχεῖν τὸ φώνημα τοῖς οὕτω θεραπευθεῖσιν ἀδύνατον ἄνευ τοῦ πάλιν χρήσασθαι φαρμάκοις ἀδήκτως ῥύπτουσιν, ὁποῖόν ἐστι τό τε κυάμινον ἔτνος καὶ ἡ πτισάνη καὶ τὸ πεφωγμένον λινόσπερμα. ἐν τῷ μεταξὺ γάρ ἐστι τὰ τοιαῦτα τῶν τε μέσων κατὰ τὴν δύναμιν φαρμάκων καὶ τῶν ἐμπλαστικῶν. τούτων δὲ ῥυπτικωτέρα ῥητίνη τερμινθίνη καὶ λιβανωτὸς, τό τε ἀπηφρισμένον μέλι, καὶ τὰ πικρὰ τῶν ἀμυγδάλων, ὥσπερ γε πάλιν ἰσχυρότερον τούτων ἐστὶ τό τε τῶν ὀρόβων ἄλευρον ὁρμίνου τε σπέρμα καὶ ἴρεως ῥίζα καὶ πάνακος. ἅπασι δὲ τούτοις οἵ τε μαλακοὶ οἶνοι καὶ γλυκεῖς ὁ Κρητικὸς, Θηραῖος καὶ Σκυβελίτης ἐπιτήδειοι, καὶ πρὸς αὐτοῖς οὐκ οἶδ' ὅπως ἠμελημένον τὸ καλούμενον ὑπὸ τῶν κατὰ τὴν ἡμετέραν Ἀσίαν Ἑλλήνων ἔψημα. προσαγορεύουσι δὲ αὐτὸ σίραιον οἱ Ἀττικίζοντες καὶ λέγουσιν, ὥσπερ ἕτεροι τὸ τῶν ἰσχάδων
13.9 ἀφέψημα καὶ μάχη αὐτοῖς τέ ἐστιν, ὁπότερον αὐτῶν χρὴ καλεῖν τὸ σίραιον. ἔστι δὲ δήπου καὶ αὐτὸ τοῦτο τὸ σίραιον, ὃ τῶν λιπαρῶν ἰσχάδων ἑψομένων ἐν ὕδατι γίνεται τῆς μέσης δυνάμεως, ἣν ῥυπτικὴν καὶ ἄδηκτον ὠνομάσαμεν. τὸ μὲν οὖν ἑψόμενον γλεῦκος ἐμπλαστικώτατόν ἐστι καὶ ἀδηκτότατον, τὸ δὲ τῶν ἰσχάδων ἀφέψημα διαφορητικώτερον καὶ ῥυπτικώτερον. ὡς οὖν ἐν τοῖς ἔμπροσθεν εἶπον, ἁπάντων χρὴ τῶν ἁπλῶν φαρμάκων ἀκριβῶς ἐπίστασθαι τὰς δυνάμεις τὸν μέλλοντα σύνθετόν τι ποιήσειν. ὁ δὲ αὐτὸς οὗτος καὶ τοῖς ὑφ' ἑτέρων συντεθεῖσιν ὀρθῶς χρήσεται καὶ μάλισθ' ὅταν ἀδιορίστως ᾖ γεγραμμένα, καθάπερ καὶ αἱ πλεῖσται τῶν ἀρτηριακῶν. εὔδηλον δ' ὅτι καὶ ταῖς μετὰ διορισμῶν γεγραμμέναις αὐτὸς οὗτος ἄμεινον χρήσεται. κατὰ γὰρ τὸν ἀκριβῆ λόγον εἰς ὅσον ἡ τῶν παθῶν κατασκευὴ μεταπίπτει, καὶ τὸ χρήσιμον ταύτῃ φάρμακον ὑπαλλάττεσθαι χρή. τοῦτο δ' ὀρθῶς μόνος ὁ τὴν δύναμιν εἰδὼς ἑκάστου τῶν ἁπλῶν φαρμάκων ἀκριβῶς ἐπιστήσεται,
13.10 προστιθεὶς τῷ πρώτῳ φαρμάκῳ βραχύ τι τῆς ἐχομένης τάξεως, οἷον ἐπὶ τῶν φλεγμονωδῶν κόπων, ὅταν ἐν τοῖς τοῦ λάρυγγος γένωνται μυσὶν, ἐν

ἀρχῇ μὲν ἁρμόττει τὰ πραότατα ἐδέσματα, φάρμακα δὲ ἐμπλαστικά. καταστάσης δὲ τῆς φλεγμονῆς βραχύ τι τῶν ῥυπτικῶν προσθετέον, εἶτ' ἐφεξῆς πλέον, εἶτ' ἄλλο πάλιν ἐκείνου γενναιότερον, ὡς κατὰ βραχὺ τὴν σύνθεσιν ἐπὶ τὸ μέσον ῥυπτικὸν ἀφικέσθαι καὶ κατὰ τὸν αὐτὸν αὖθις τρόπον τὸ τούτου τὸ διαφορητικώτερόν τε καὶ ῥυπτικώτερον, εἶθ' οὕτως ἐπὶ τὸ σφοδρότατον, ὅταν ἐπιπλεῖον οἷον σκιρρώδης τις διάθεσις ἐν τοῖς φωνητικοῖς ὀργάνοις παραμένῃ. τῆς μὲν οὖν πρώτης τάξεώς ἐστι τραγάκανθα καὶ κόμμι καὶ Σάμιος ἀστὴρ, ἄμυλός τε καὶ τὸ διὰ χόνδρου καὶ τράγου καλῶς ἑψηθέντων ῥόφημα. καὶ γάλα δὲ ἐπιτήδειον αὐτοῖς ἐστι καὶ ἴτριον καὶ ὠὰ ῥοφούμενα καὶ οὓς νῦν ἅπαντες Ἕλληνες ὀνομάζουσι στροβίλους, τὸ πάλαι δὲ παρὰ τοῖς Ἀττικοῖς ἐκαλοῦντο κῶνοι. καὶ τὰ σήσαμα δὲ ἐκ τούτου τοῦ γένους ἐστίν. ἐφεξῆς δὲ τούτων
13.11 ὑπάρχει τὸ καλούμενον βούτυρον· εἰ δέ σοι φίλον ἀρσενικῶς ὀνομάζειν βούτυρος· ἀφέψημά τε γλυκείας ῥίζης εἰς πάχος ἠγμένον Ἀττικοῦ μέλιτος ὑγροῦ. τὴν μέντοι γλυκεῖαν ῥίζαν, ἣν γλυκύρριζαν ὀνομάζουσιν, ἄμεινον ἐν τῷ πρώτῳ καιρῷ καθεψήσαντας, ὡς ἔφην, ἐν ὕδατι μῖξαι τὸ ἀφέψημα τῷ ἐκ τοῦ γλεύκους γεγονότι σιραίῳ, καλουμένῳ δ' ὑφ' ἡμῶν τῶν κατὰ τὴν Ἀσίαν ἡμετέραν ἑψήματι. μιγνύναι δὲ τοῦτο καὶ γλυκεῖ Κρητικῷ, καὶ πάλιν δὲ ἕψειν μετὰ τὴν μίξιν, ἐάν τε ἑψήματι τύχῃ μιχθὲν, ἐάν τε τῷ Κρητικῷ γλυκεῖ. ταῦτα μὲν οὖν ἐπὶ ταῖς φλεγμονώδεσι διαθέσεσιν κατά τε τὴν ἀρτηρίαν τε καὶ τὸν λάρυγγα χρήσιμα κατ' ἀρχάς ἐστιν, ἄχρις ἂν ἡ φλεγμονὴ μετρία γένηται. καὶ πρὸ πάντων οἴνου πόσεως ἀπεχέσθω κατὰ τὸν καιρὸν τοῦτον. ὅταν δὲ μετριώτερα γένηται τὰ τῆς φλεγμονῆς, τὸν γλυκὺν Θηραῖον ἢ τὸν Σκυβελίτην ἔξεστι πίνειν ἢ τὸν ἐξ ἡμετέρας Ἀσίας, μάλιστα μὲν Καρύινον, ἐφεξῆς δὲ τὸν Θηραῖον ὀνομαζόμενον, εἶτα καὶ τὸν γλυκὺν Τμωλίτην, ἐν ᾧ καιρῷ καὶ τὸ βούτυρον ἐπιτήδειόν ἐστι καὶ τὸ διὰ τῶν ἀμυγδάλων ῥόφημα καὶ τὸ διὰ γάλακτος καὶ μέλιτος ἑψηθέντων ἐπιπλέον ἐπεμβληθέντος ἀμύλου. κἂν ἄμυλον δὲ μὴ παρείη,
13.12 τῆς ὀνομαζομένης παρὰ Ῥωμαίοις σιλίγνεως ἐμβαλλομένης. εὔδηλον δ' ὅτι κατὰ τὴν αὐτὴν δίαιταν ἡ μὲν φλεγμονὴ παύεται τῶν κατὰ τὸν λάρυγγα καὶ τὴν ἀρτηρίαν ὑμένων τε καὶ μυῶν, ὑγρότης δὲ καταλείπεται πολλὴ, ἥτις ἀδύνατός ἐστι λαμπρὰν ἀποφῆναι τὴν φωνήν. μετέρχεσθαι δὲ τηνικαῦτα προσήκει τῶν ἐδεσμάτων ἐπὶ τὰ διὰ μέλιτος ἑψημένα

πάντα, καὶ μέντοι καὶ κυάμινον ἔτνος καὶ πτισάνην καὶ κράμβην καὶ τὰ καλῶς ἑψημένα πράσα. φαρμάκων δὲ χρῆσις ἐπιτήδειός ἐστι καθ' ὃν μὲν χρόνον ἤτοι τὰ τῆς φλεγμονῆς ἢ τῆς τραχύτητος ἐπικρατεῖ, τὰ ὑπὸ τὴν γλῶτταν λαμβανόμενα, περὶ ὧν τῆς συνθέσεως ἐρῶ. μετὰ δὲ ταῦτα ῥυπτικώτερα τούτων καὶ ξηραντικώτερα, κᾆπειτα τούτων αὖθις αὐτῶν ῥυπτικώτερά τε καὶ ξηραντικώτερα, μέχρις ἂν ἐπὶ τὰ δριμύτητος ἔχοντά τι παραγενώμεθα καὶ τούτων αὐτῶν ἀπὸ τῶν μετριωτέρων ἀρξάμενοι, πρὸς τὰ σφοδρότερα κατὰ βραχὺ μεταβαίνωμεν. τὰ μὲν οὖν ἐκ τῆς διαίτης ὁποῖον ἂν ἕξει τὸν τύπον ἔμπροσθεν εἴρηται, καθάπερ γε καὶ ἡ τῶν ἁπλῶν φαρμάκων ἰδέα· τὰ δὲ ἐξ αὐτῶν σύνθετα φάρμακα πολυειδῶς
13.13 ἔγραψαν ἄλλοι κατ' ἄλλας συμμετρίας. καὶ οἷς μὲν ἤρκεσεν ἐκ τριῶν ἢ τεττάρων ἁπλῶς συντεθὲν φάρμακον, ἔνιοι δὲ εἰς ἀριθμὸν ἐξέτειναν πλείονα, καὶ τινὲς μέν, ὡς εἴρηται, τῆς μαλακωτάτης τε καὶ παρηγορικωτάτης ὕλης ἐποιήσαντο τὴν σύνθεσιν τῶν ἀρτηριακῶν δυνάμεων, ἔνιοι δὲ ἔμπαλιν τούτοις δριμείας καὶ θερμῆς καὶ ῥυπτικῆς καὶ ξηραινούσης ἱκανῶς, εἰσὶ δ' οἳ καὶ τρίτον εἶδος, ὃ μέσον ἀμφοῖν ἐστι· καὶ μετὰ τούτους ἄλλοι μὲν ἐν τῷ μεταξὺ τοῦ μέσου τε καὶ μαλακωτάτου, ἄλλοι δὲ ἐν τῷ μεταξὺ τοῦ τε δριμυτάτου καὶ τοῦ μέσου· καὶ κατὰ ταὐτὰ πάλιν αὐτὰ τινὲς μὲν μᾶλλον, τινὲς δὲ ἧττον ἀποχωρήσαντες τῶν μέσων τῇ δυνάμει φαρμάκων, διαφόρους ἐποιήσαντο τὰς συνθέσεις. τούτοις ἅπασιν ὀρθῶς χρήσεται μόνος ὁ τὴν δύναμιν ἑκάστου τῶν ἁπλῶν ἐπιστάμενος, αὐτὸς γὰρ γνώσεται καὶ τὴν τάξιν τοῦ φαρμάκου κατὰ ποίαν ἀπόστασίν ἐστι τῶν μέσων. ἔγραψαν μὲν οὖν καὶ οἱ πρὸ Μαντίου τε καὶ Ἡρακλείδου φάρμακα τοιαῦτα καὶ οἱ μετὰ αὐτούς. πολὺ δὲ βελτίω τοῖς εἰρημένοις ἀνδράσιν ἢ αὐτοῖς συντιθεῖσιν ἢ παρ' ἑτέρων λαβοῦσι
13.14 γέγραπται διὰ τῶν συγγραμμάτων ἃ κατέλιπον ἡμῖν, αὔξοντες τὸ φαρμακευτικὸν μέρος τῆς τέχνης. ἐν δὲ τῷ χρόνῳ καὶ ταῦτα καὶ τὰ πρόσθεν ἀκριβῆ καὶ μακρὰν πεῖραν παρασχόντα τοῖς ἀνδράσιν ἐξείλεκται καὶ ἤθροισται, περὶ ὧν πολλάκις ἐν τῇδε τῇ πραγματείᾳ τὸν λόγον ἐποιησάμην. οὗτοι δ' εἰσὶν οἱ περὶ τὸν Ἀσκληπιάδην καὶ Μούσαν καὶ Ἀνδρόμαχον καὶ Ἥραν καὶ Κρίτωνα καὶ Μενεκράτην. πολλὰ δὲ καὶ ἄλλα φάρμακα καὶ οἱ περὶ τὸν Ἀρχιγένη καὶ Φίλιππον ἔγραψαν, ὡς μηδενὸς

ἡμᾶς ἔτι δεῖσθαι τῶν ἀνωτέρω, τούτοις γὰρ, ὡς εἶπον, ὅσα τοῖς πρεσβυτέροις εὕρηται, κάλλιστα γέγραπται πάντα.

Περὶ τῶν ὑπ᾽ Ἀνδρομάχου γεγραμμένων ἀρτηριακῶν. Πλείστας ἀρτηριακὰς δυνάμεις ἔγραψεν ὁ Ἀνδρόμαχος, ὡς ἔχειν ἀπὸ τῶν ἀσθενεστάτων ἐπὶ τὰ σφοδρότατα διὰ τῶν ἐν μέσῳ κατὰ βραχὺ προϊέναι τὸν γνωρίζειν αὐτῶν τὴν διαφορὰν δυνάμενον. αὐτὸς γὰρ ὁ Ἀνδρόμαχος ἀδιοριστότερον ἔγραψεν αὐτὰς, ἀλλ᾽ ἐγὼ προσθήσω τοὺς διορισμοὺς, ἀναμιμνήσκων ὧν ἄρτι προεῖπον. ὅτι δὲ τὸν μέλλοντα τοῖς λεγομένοις
13.15 ἀκολουθήσειν ἄξιον προγεγυμνάσθαι κατὰ τὴν τῶν ἁπλῶν φαρμάκων πραγματείαν εἴρηταί μοι πολλάκις. ἄνευ γὰρ τοῦ γινώσκειν ἑκάστου τῶν ἁπλῶν τὴν δύναμιν ἀκριβῶς καὶ διωρισμένως, οὐχ οἷόν τε γνῶναι τὸ σύνθετον, ἐκ ποίας ἐστὶ τάξεως τῶν ὁμογενῶν, πότερον ἐκ τῆς μαλακωτάτης ἢ τῆς σφοδροτάτης ἢ τῆς μέσης ἤ τινος τῶν μεταξὺ ταύτης ἢ καὶ τῶν ἄλλων.

Πρώτην μὲν οὖν ἔγραψε δύναμιν ἀρτηριακὴν οὐ μετὰ πολὺ τῆς ἀρχῆς τῆς βίβλου, καθ᾽ ἣν τῶν ἐντὸς τοῦ σώματος γινομένων παθῶν ποιεῖται τὴν θεραπείαν, ὠδί πως αὐτοῖς ὀνόμασιν. ἀρτηριακὴ ᾗ χρῶμαι. ϟ λιβάνου ∢ α′. ἐν ἄλλῳ δ′. σμύρνης ∢ α′. ἐν ἄλλῳ δ′. κρόκου ∢ α′. ἐν ἄλλῳ δ′. σκίλλης ∢ β′. γλυκέος Κρητικοῦ γ′. ἡ σκίλλα ἐνέψεται τῷ γλυκεῖ, ἕως συστραφῇ, εἶτα ἡ μὲν σκίλλα ῥίπτεται, ἐπιπάσσεται δὲ τὰ λοιπά. τοῦτο τὸ φάρμακον εἰ μὴ τὴν σκίλλαν εἶχεν, ἦν ἂν τῶν ἀκριβῶς μαλακωτάτων, εἰς τρεῖς ξέστας τοῦ Κρητικοῦ γλυκέος, ἐλαχίστου λιβάνου καὶ σμύρνης καὶ κρόκου βαλλομένων, ὡς ὀλίγου δεῖν ὅλον ὑπάρχειν αὐτὸ γλυκὺ
13.16 Κρητικόν. εὔδηλον δ᾽ ὅτι τὸ καλούμενον ὑπ᾽ αὐτῶν ἐκλεικτὸν φάρμακον γίνεται. καλοῦσι δ᾽ αὐτὰ καὶ Ἀττικῶς ἐκλεικτὰς δυνάμεις.

Ἐφεξῆς δὲ τῇ προγεγραμμένῃ δυνάμει δευτέραν ἔγραψεν ὁ Ἀνδρόμαχος οὕτως. ἀρτηριακὴ ἡ διὰ κωδυῶν. κωδύαι χλωραὶ χίλιαι διακόσιαι, μέλιτος Ἀττικοῦ Ⲗ′ δ′. κρόκου Κιλικίου δραχμαὶ δ′. οἱ δὲ ∢ ι′. ὑποκυστίδος χυλοῦ δραχμαὶ ι′. ἀκακίας δραχμαὶ ι′. ὕδωρ ὄμβριον εἰς τὰς κωδύας. ὕδωρ μὲν οὖν ὄμβριον βάλλεται, ὅπως ἀσηπτότερον εἴη τὸ φάρμακον. ἔχει δὲ δηλονότι στυπτικὸν ἐν αὐτῷ τι τὸ ὕδωρ τοῦτο. σκοπὸς δέ ἐστιν ἐν τῷ προκειμένῳ φαρμάκῳ πέψαι τὴν κατὰ τὴν ἀρτηρίαν

διάθεσιν, ἥτις ἂν ᾖ δι᾽ ὕπνου καὶ τῶν πεπτικῶν ἅμα στύψει μὴ πολλῇ. τὸ μὲν οὖν ἁπλοῦν φάρμακον διὰ τῶν κωδυῶν, ὡς ἐγὼ ποιεῖν εἴωθα, κωδύας ἔχει μόνας ἐνιεμένας ὕδατι, κἀπειδὰν τακηραὶ γένωνται, αὐτὰς μὲν ἐκβάλλομεν, τὸ δὲ ὕδωρ αὐτῶν μίγνυμεν Ἀττικῷ μέλιτι μόνῳ, κἄπειτα μέχρι συστάσεως ἐκλεικτοῦ φαρμάκου τῆς ἐψήσεως γινομένης.

13.17 τὸ δὲ πόσον ὕδατος πόσῳ μέλιτι χρὴ μιγνύειν ἐν ταῖς τῶν τοιούτων φαρμάκων σκευασίαις, ἐν τοῖς ἑξῆς ἐρῶ κατ᾽ ἐκεῖνον τὸν τόπον, ἔνθα προγραφὴν ποιήσομαι τοιαύτην, ἡ διὰ τῶν κωδυῶν.

Τρίτην δύναμιν ἔγραψεν ἐπὶ ταῖς εἰρημέναις ὁ Ἀνδρόμαχος τήνδε. ἀρτηριακὴ ἡ Βλάστου, ᾗ χρῶμαι πρὸς φθισικευομένους καλὴ λίαν. ℞ νάρδου Κελτικῆς ʃ δ′. ἀμώμου δραχμὰς η′. κινναμώμου ʃ ι′. μαλαβάθρου δραχμὰς δ′. νάρδου Ἰνδικῆς δραχμὰς γ′. σχοίνου ἄνθους ʃ β′. κασσίας ʃ η′. λιβάνου δραχμὰς γ′. σμύρνης ʃ α′. κόστου δραχμὰς δ′. μάγματος μαλαβάθρου ʃ στ′. γλυκυρρίζης χυλοῦ δραχμὰς γ′. μανδραγόρου χυλοῦ δραχμὰς ε′. μαστίχης Χίας ʃ γ′. κρόκου δραχμὰς στ′. φοίνικας ἐν οἰνομέλιτι ἑψήσας ἢ προτρόπῳ, εἶτα εἰς τὸ ἀφέψημα βάλε στροβίλους κ′. καὶ λέαινε, εἶτα τοῦ φαρμάκου, ὡς καρύου Ποντικοῦ, ἢ μικρῷ ἔλασσον, ἐπί τινας ἡμέρας τούτῳ χρῶ, εἶτα ἀκεραίῳ τῷ φαρμάκῳ. εἶτα ἐπὶ δύο ἢ τρεῖς ἡμέρας χρήσῃ τῇ δι᾽ ἀλόης ἱερᾷ, κοχλιαρίου τὸ πλῆθος σὺν ὕδατι ἐπὶ μίαν ἡμέραν. χρῶ δὲ τῷ φαρμάκῳ καὶ σὺν γάλακτι ἐπὶ τῶν τὴν

13.18 ἀρτηρίαν πασχόντων, ἀναγαργαρίζεσθαι κελεύων καὶ πάλιν διαλιπὼν, χρῶ τῷ ἀνωδύνῳ κυάμου Αἰγυπτίου τὸ μέγεθος. ὅταν δὲ ἰσχυρὸς ὁ ῥευματισμὸς ᾖ, προσμίγνυμεν τῇ ἀντιδότῳ ὀπίου καὶ καστορίου, ὀλίγον ἑκατέρου, ἐπὶ δὲ τῶν κακοστομάχων αὐτὰ φυλαττόμεθα. εὔδηλον οὖν ἐξ αὐτῆς τῆς χρήσεως, ἃ γέγραφεν ὁ Ἀνδρόμαχος ἐπὶ τῶν ῥευματιζομένων τὰ περὶ τὸν θώρακα καὶ πνεύμονα καὶ ἀρτηρίαν ἐπιτηδείως τῆς προγεγραμμένης δυνάμεως συγκειμένης. ἔφη γὰρ αὐτὸς, ὅταν ᾖ ἰσχυρὸς ὁ ῥευματισμὸς, προσμίγνυμεν τῇ ἀντιδότῳ ὀπίου καὶ καστορίου ὀλίγον ἑκατέρου, δηλονότι ξηρᾶναι τὸ ῥεῦμα καὶ ὑγιεινὸν ἐργάσασθαι προαιρούμενοι. ποικίλον δέ ἐστι καὶ πολυμίγματον, ὡς πρὸς πάσας ἁρμόττειν τὰς διαθέσεις, ὅσαι καὶ χρόνιαι καὶ κακοήθεις εἰσὶ καὶ δυσίατοι, κἂν ἕλκος ᾖ τι περὶ τὴν ἀρτηρίαν ἢ τὸν λάρυγγα, καὶ πολὺ μᾶλλον, ἐὰν κατὰ τὸν πνεύμονα. τὰ γὰρ τοιαῦτα τῶν ἰσχυρῶν οὕτω

δεῖται φαρμάκων, ὡς ἐπὶ πλείονα χρόνον ἐξαρκέσαι δυνηθῶσιν οἱ τὴν φθινώδη διάθεσιν ἔχοντες. ὅταν γὰρ ἐπιλάβωνται χωρίου ξηροῦ καὶ
13.19 διαίτῃ προσηκούσῃ καὶ φαρμάκοις χρώμενοι διατελῶσιν, ἐπιπλεῖστον ἀντέχουσί τε κατὰ τὰς συνήθεις πράξεις ἐργαζόμενοι μετρίως. αὐτὴν οὖν τὴν δύναμιν οὐκ ἠξίουν ἀναμεμίχθαι ταῖς ἰδίως ὀνομαζομέναις ἀρτηριακαῖς.

Τετάρτην ἐπὶ ταῖς προγεγραμμέναις ἔγραψε δύναμιν ὁ Ἀνδρόμαχος ὠδί πως, ἑτέρα τοῦ αὐτοῦ. λέγει δὲ δηλονότι τοῦ Βλάστου, περὶ οὗ κατὰ τὴν ἔμπροσθεν ἀρτηριακὴν ἐγεγράφει· ἀρτηριακὴ Βλάστου ᾗ χρῶμαι. τὴν σύνθεσιν δὲ αὐτῆς τοιαύτην ποιεῖται. ℈ ἀλόης γο β ′ . κρόκου γο α ′ . μαστίχης γο α ′ . πρόδηλον οὖν ὅτι τὸ φάρμακον τοῦτο τῶν ἰδίως ὀνομαζομένων ἐκκοπρωτικῶν ἐστι, μετὰ τοῦ πεττικὸν ἔχειν τι διὰ τὸν κρόκον. ὅταν δ’ οὕτως εἴπω πεττικὸν, ἀκούειν χρὴ τῆς διαθέσεως ἧς ἕνεκα προσάγεται.

Πέμπτην δὲ ἐφεξῆς τῶν προγεγραμμένων ἔγραψεν ὁ Ἀνδρόμαχος τήνδε. ἀνώδυνος τοῦ αὐτοῦ. ὀπίου γο γ . κρόκου γο α . σμύρνης γο β . ἀκακίας γο . γλυκείας χυλοῦ δ . σὺν μέλιτι. ταῦτα μὲν ὁ Ἀνδρόμαχος, ἐγὼ δὲ οὐ πάνυ τι προσίεμαι τὴν τοιαύτην σύνθεσιν τῶν
13.20 φαρμάκων, μετὰ τοῦ μὴ δεδηλῶσθαι τὴν διάθεσιν, ἐφ’ ἧς αὐτῇ χρηστέον. ἴσμεν γὰρ ἐπὶ τῶν ἀνωδύνων τὸν σκοπὸν τῆς συνθέσεως, ὅταν ὕπνον ἐργάσασθαι βουληθῶμεν καὶ σφοδρὰν ὀδύνην ναρκῶσαι. ἡ δὲ τῆς ἀκακίας μίξις ὡς πρὸς ἕλκος ἐστὶν, ὥσπερ γε καὶ ὁ τῆς γλυκείας χυλὸς πρὸς τὸ πραῦναι τὰ τετραχυμμένα. κρόκου δὲ μιγνύειν ἢ ὀπίου κατὰ τὰς ἀνωδύνους τοῖς πλείστοις ἤρεσεν, ἐπειδὴ δοκεῖ καὶ αὐτοῖς ἱκανῶς πέττειν ἁπάσας τὰς διαθέσεις.

Ἕκτην ἐπὶ ταῖς προγεγραμμέναις ἔγραψε δύναμιν ὁ Ἀνδρόμαχος τοιάνδε. ἀρτηριακὴ τοῦ αὐτοῦ. ℈ λιβάνου γο α′. γλυκείας χυλοῦ γο α′. σμύρνης δραχμὰς δ′. τραγακάνθης δραχμὰς στ′. νάρδου ∢ α′. ἀμώμου δραχμὰς δ′. κρόκου ∢ δ′. μέλιτος Ἀττικοῦ τὸ αὔταρκες. καὶ αὕτη δέ ἐστι δήλη πρὸς τὰς αὐτὰς διαθέσεις τῶν ἀναπνευστικῶν συντιθεμένη διά τε τῶν πεπτικῶν καὶ παρηγορικῶν καὶ στυφόντων καὶ ῥυπτόντων. ὁ μὲν γὰρ λίβανος καὶ ἡ σμύρνα καὶ ὁ κρόκος τῶν πεττόντων τὰς διαθέσεις εἰσίν. ὁ δὲ τῆς

γλυκείας χυλὸς τῶν ἐκλεαινόντων τὰς τραχύτητας, ὥσπερ γε καὶ ἡ
13.21 τραγάκανθα. τὸ δὲ ἄμωμον ἰσχυρῶς ξηραίνει μετὰ τοῦ καὶ βραχὺ στυπτικὸν ἔχειν. τὸ δὲ μέλι τῆς τῶν θερμαινόντων ἐστὶ καὶ ῥυπτόντων δυνάμεως.

Ἑβδόμην ἐπὶ ταῖς προγεγραμμέναις ὁ Ἀνδρόμαχος ἔγραψεν, ἐκ τῶν πολλῶν πάνυ συγκειμένην φαρμάκων, ἁπάσας σχεδόν τι τὰς δυνάμεις ἐχόντων. καὶ γὰρ στύφοντα καὶ δάκνοντα καὶ λεπτύνοντα καὶ παρηγοροῦντα καὶ ἐκλεαίνοντα καὶ ὑπνωτικὸν καὶ διαφορητικὸν καὶ ῥυπτικὸν περιέχεται κατ᾽ αὐτὴν, ἐφ᾽ ὧν ἁπασῶν τῶν πολυμιγμάτων δυνάμεων ὧν εἴρηταί μοι καὶ πρόσθεν ὁ λόγος κοινὸς, ὡς ἐξ ἁπάντων τις εἰ βουληθῇ συνθεῖναί τι τῶν φαρμάκων, ἐλπίδι τοῦ ποιήσειν ἓν φάρμακον πρὸς ἁπάσας τὰς ὁμογενεῖς διαθέσεις. ἐξ αὐτῶν τινὰ μὲν εὑρέθη τῇ πείρᾳ μοχθηρὰ καὶ παρεώσθη, τινὰ δὲ εὐτύχησε κατὰ τὸν τοῦ συνθέντος ἀποβῆναι στοχασμόν. ἔγραψε δὲ καὶ τὴν σκευασίαν αὐτῆς ὁ Ἀνδρόμαχος, οὐ πάνυ τι τοῦτο πράττειν εἰωθώς. ὃ δὲ ἐκ φαρμάκων
13.22 δυνάμεις ἐχόντων ἃς εἴρηκα σύγκειται, κάλλιον μέν ἐστι μεμνῆσθαι τοὺς ὁμιλήσαντας τοῖσδε τοῖς γράμμασιν. εἰ δὲ καὶ μὴ πρόχειρον ἔχοιεν τὴν μνήμην, ἀλλὰ κατά τε τὸν χρόνον αὐτὸν τοῦτον, ἐν ᾧ τὰ τοιαῦτα φάρμακα μανθάνουσιν, ἀναγνώτωσαν ἐπιμελῶς τὸ ἕκτον καὶ τὸ ζ′ καὶ τὸ η′ περὶ τῆς τῶν ἁπλῶν φαρμάκων δυνάμεως. ἐν ἐκείνοις γὰρ ἅπασαν ἔγραψα τὴν ὕλην τῶν φαρμάκων, ὅσα ῥίζαι καὶ φύλλα καὶ ἄνθη καὶ σπέρματα καὶ καρποὶ καὶ ὀποὶ καὶ χυλοὶ τῶν ἐκ τῆς γῆς φυομένων εἰσὶν ἢ ἁπάντων φυτῶν. ὁπότ᾽ οὖν ἀκήκοας ταῦτα, πρόσχες ἤδη τὸν νοῦν οἷς ἔγραψε περὶ τοῦ φαρμάκου τούτου ὁ Ἀνδρόμαχος. ἀρτηριακὴ ᾗ χρῶμαι. πτέρεως ῥίζαι ὡς ἁδρόταται πλύνονται, ἕως λίαν καθαρώταται γένωνται καὶ πᾶν γεῶδες ἀφῶσιν, εἶτα ψύχονται ἡμέραν μίαν καὶ κατατέμνονται εἰς τριδάκτυλα καὶ καταθραύονται. ἐκ τούτων λίτραι ι′. καὶ βάλλονται εἰς χύτραν ἐγκεκαινισμένην καὶ ὕδατος γλυκέος ξέστεις ι′. καὶ ἕψεται ἕως ἂν λειφθῶσιν ξέστεις ε′. καὶ ἐκθλίβονται καὶ τὸ μὲν ὑγρὸν εἰς δίπλωμα βάλλεται, τὰ δ᾽ ἀρώματα ἁδρομερῆ. ϟ νάρδου Ἰνδικῆς δραχμὰς δ′.
13.23 κινναμώμου ‹ στ′. γλυκείας ῥίζης δραχμὰς στ′. κακίας ‹ δ′. ῥήου Ποντικοῦ δραχμὰς δ′. βαλαυστίου ‹ στ′. ῥόδων ξηρῶν ‹ δ′. οἱ δὲ δραχμὰς στ′. ταῦτα ἕψεται ὁμοίως εἰς τὸ ἥμισυ, εἶτα ἐκθλίβεται καὶ

προσεμβάλλεται τῷ ἀφεψήματι μέλιτος Ἀττικοῦ α′. προαφεψημένου καὶ συνεστραμμένου ἰδίᾳ ἐν διπλώματι, ἕως μὴ μολύνοι, καὶ προσεμβάλλεται τερμινθίνης διαυγοῦς ‹ γ′. χαλβάνης δραχμὰς β′. κρόκου δραχμὰς ε′. ὑοσκυάμου χυλοῦ ‹ α′. ὑποκυστίδος χυλοῦ ‹ α′. μανδραγόρου χυλοῦ τριώβολον, πεπέρεως λευκοῦ δραχμὰς η′.

Ὄγδοον ἐπὶ ταῖς προειρημέναις ἔγραψε, δηλώσας τῆς δυνάμεως αὐτῆς τὸ κεφάλαιον, ὅπερ ἐχρῆν ἐπὶ πασῶν αὐτῶν πεποιηκέναι. ἔχει δ’ οὕτω πως αὐτοῖς ὀνόμασιν. ἀρτηριακὴ ἐπαινουμένη Μιθριδάτειος, πρὸς τὰ ἐν θώρακι συνηθροισμένα, ὑποκαθαίρει καὶ ἀπολεαίνει. ⟨ἐρυσίμου πεφωγμένου ‹ κ′. ἔν τισι δὲ τῶν ἀντιγράφων ἐρεγμοῦ γέγραπται· ῥυπτικῆς δέ ἐστιν ἄμφω δυνάμεως, λινοσπέρματος πεφωγμένου ‹ κ′. καὶ τοῦτο ῥυπτικῆς ἐστι δυνάμεως, στροβίλου δραχμὰς η′. ἐκλεαίνει
13.24 δηλονότι τοῦτο, σταφίδος ἐκγεγιγαρτισμένης δραχμὰς δ′. καὶ αὕτη τῷ μὲν βραχύ τι παραστύφειν καὶ ἅμα τροφή τις εἶναι χρηστὴ τῷ σώματι μέμικται προσηκόντως. ἔχει δὲ καὶ τὴν τοῦ γλυκέος δύναμιν, οἵαν εἰρήκαμεν ἐν τῷ τετάρτῳ περὶ τῆς τῶν ἁπλῶν φαρμάκων δυνάμεως· κρόκου ὀβολοὺς δύο. ἐλάχιστον δηλονότι βέβληκε τοῦ κρόκου ὁ συνθεὶς τὸ φάρμακον, ἐγγύς τε τοῦ μηδὲν εἶναι πρὸς τὴν τῶν ἄλλων ἀναλογίαν. εἰρήκαμεν δὲ ὅτι πεττικῆς ὁ κρόκος ἐστὶ δυνάμεως μετὰ τοῦ καὶ στύφειν. εἴρηται δ’, ὅτι καὶ ἡ στύψις συνάγει καὶ σφίγγει καὶ τονοῖ τὰ σώματα. βέβληκε δὲ καὶ κοτύλης μέλιτος τέταρτον, ἀποχωρήσας τοῦ τε γλυκέος οἴνου καὶ τοῦ ἑψήματος, ἀποκαθαίρειν γὰρ τὸ σκευαζόμενον φάρμακον βούλεται, καθότι προεῖπε τὰ ἐν θώρακι. ἐν δὲ τοῖς τοιούτοις φαρμάκοις τὰ παχύχυμα κωλύει τὴν ἀνακάθαρσιν. ἔμιξε δὲ τούτοις τραγακάνθης δραχμὰς δ′. ἐκλεαίνοντος φαρμάκου τὰ τραχυνθέντα. προεῖπον δ’ ὅτι βούλεται τὸ προκείμενον φάρμακον ἀποκαθαίρειν τε καὶ ἐκλεαίνειν τὰ κατὰ τὸν θώρακα. ὁ μὲν γὰρ σκοπός ἐστιν ἐν τοῖς τοιούτοις λεπτῦναι καὶ
13.25 ἀπορρύψαι καὶ πρὸς τὴν ἀναγωγὴν ἐπιτήδεια ποιῆσαι τὰ κατὰ τὸν θώρακα. τῆς δ’ ἀνωδυνίας ἕνεκα καὶ τοῦ μὴ πάνυ τι βήττειν τραχυνθέντα τὰ μόρια προστίθενται τὰ ἐκλεαίνοντα. μέγιστον δὲ τοῦτ’ ἔστι καὶ διὰ παντὸς χρὴ μεμνῆσθαι αὐτοῦ τοῦ πολλάκις ἕνα σκοπὸν ἔχειν, δι’ ὃν συντίθεται τὸ φάρμακον. ἕνεκα δὲ τοῦ μὴ λυπεῖν αὐτὸ κατὰ μηδένα τρόπον, ἑκάτερα μίγνυται τὸν πρῶτον σκοπὸν τῆς ὠφελείας οὐκ ἔχοντα.

Ἐνάτην ἀρτηριακὴν ἐπὶ ταῖς προγεγραμμέναις ἔγραψεν ὁ Ἀνδρόμαχος ὡδί πως κατὰ λέξιν. ἀρτηριακὴ ἡ Μαρίνου. ⪤ κρόκου γο α ′ . κόμμεως γο β ′ . τραγακάνθης γο α ′ . μέλιτος Ἀττικοῦ α ′ . ἕψε ἕως ἀποσταζόμενον μὴ μολύνοι. τοῦτο τὸ φάρμακον τῶν μέσων ἐστὶ κατὰ τὴν δύναμιν. ἦν δ’ ἂν ἀκριβῶς παρηγορικόν τε καὶ ἀνώδυνον, εἰ μήπω κρόκου εἶχεν μήτε τοῦ μέλιτος τὸν . ἀλλ’ ἀντ’ αὐτοῦ τὸν Θηραῖον οἶνον τὸν Κρητικὸν ἢ τὸ ἐκ τοῦ γλεύκους ἑψηθέντος γινόμενον, ὃ καλοῦμεν ἡμεῖς, ὡς ἔφην, ἕψημα,
13.26 παράκειται δὲ κατὰ τὴν λέξιν ἀκαίρως ἐπὶ τοῖς προειρημένοις ἰσχυροῖς φαρμάκοις, ἃ καὶ τοῖς ἐμπυϊκοῖς καὶ τοῖς ὑπὸ φθόης ἐχομένοις ἁρμόττει.

Δεκάτην ἐφεξῆς τῇ προγεγραμμένῃ μνημονεύει, μεταξὺ τῆς ἀκριβῶς παρηγορικωτάτης καὶ τῆς μέσης, ὁποίαν ἔφην εἶναι τὴν προγεγραμμένην. ἐκ κόμμεως γοῦν ταύτην καὶ γλυκέος Κρητικοῦ καὶ ὕδατος συντίθησι μιγνὺς μέλιτι· τοῦ μὲν κόμμεως ἐμβαλὼν γο η′. τοῦ δὲ γλυκέος α′. τοῦ δὲ μέλιτος λίτραν α′. λύειν κελεύων ὕδατι τὸ κόμμι, μὴ προσθεὶς τὸ ποσόν. διὰ μὲν οὖν τὸ κόμμι καὶ τὸ γλυκὺ καὶ τὸ ὕδωρ ὅλως οὐδὲν ἔχει ῥυπτικὸν, διὰ δὲ τὸ μέλι τοῦ παρηγορικωτάτου καὶ ἐκλεαίνοντος ἀποκεχώρηκεν. ἴσμεν γὰρ ὅτι ῥυπτικόν ἐστι τὸ μέλι. ἕψεσθαι δὲ δεῖν ἐπ’ ἀνθράκων εἶπεν αὐτὸ, τουτέστιν ἐπὶ μαλακοῦ πυρὸς ἀκάπνου. κάλλιον δ’ ἂν ἐπεποιήκει καὶ περὶ τῶν ἄλλων ἁπασῶν ἀρτηριακῶν τοῦτο προσγράψας. ἐγὼ γοῦν οὕτως αὐτὸ σκευάζω καὶ οὐδ’ ἐπ’ αὐτῶν ἀνθράκων ἔτι διακαιομένων ποιοῦμαι τὴν ἕψησιν, ἵνα μηδὲ τὸ ἀπὸ τούτων ἀναφερόμενον καπνῶδες καὶ δριμὺ προστρίψειε τῷ
13.27 φαρμάκῳ δριμύτητας οὐκ ἀναγκαίας. τῆς μὲν γὰρ τοῦ μέλιτος δριμύτητος ἀνεχόμεθα, καίτοι καὶ αὐτῆς οὐκ οὔσης σφοδρᾶς διὰ τὴν ἄλλην αὐτοῦ χρείαν, καπνοῦ δὲ οὐδεμία χρεία. διαφευκτέον οὖν αὐτὴν εἰς ὅσον ἐνδέχεται κατὰ πάντα τὰ τοιαῦτα φάρμακα, κάλλιον δὲ καὶ ἐπὶ τῶν ἐμπλαστικῶν ἀκάπνοις χρῆσθαι τοῖς ξύλοις.

Ἑνδεκάτην δύναμιν ἔγραψεν οὕτως. ἀρτηριακὴ ἄλλη καλή. ⪤ κινναμώμου, λιβάνου ἀνὰ γο α′. χυλοῦ γλυκείας γο α′. σμύρνης δραχμὰς δ′. τραγακάνθης ‹ στ′. νάρδου Ἰνδικῆς ‹ δ′. ἀμώμου δραχμὰς δ′. κρόκου ‹ α′. μέλι Ἀττικόν. ἀληθῶς εἶπεν, καλὴν εἶναι τὴν ἀρτηριακὴν ταύτην, ἀλλ’ ἐνδεῖ τῷ λόγῳ πρὸς τίνας διαθέσεις αὐτὴν εἶναί φησι καλήν. εἴρηται

γὰρ ἐν ἀρχῇ καὶ διὰ κραυγὴν καὶ διὰ κατάρρουν κακοῦσθαι τὴν ἀρτηρίαν καὶ τῷ ἔχειν ἕλκος ἢ φλεγμονὴν σκιρρουμένην. ἧς δὲ νῦν τὴν σκευασίαν οὕτως ἔγραψεν ὁ Ἀνδρόμαχος καὶ πρὸς τοὺς φθόῃ κάμνοντας ἐπιτήδειόν ἐστι φάρμακον καὶ πάσας ἁπλῶς τὰς ἐν θώρακι καὶ πνεύμονι
13.28 κεχρονισμένας διαθέσεις. ἡ γὰρ τοῦ κινναμώμου φύσις οὖσα λεπτομερὴς καὶ ξηραντικὴ καὶ τὰς ἐσκιρρωμένας διαθέσεις ἰᾶσθαι πέφυκεν. ἐφεξῆς δὲ αὐτῷ καὶ ἡ τοῦ ἀμώμου δύναμίς ἐστι μετὰ τοῦ καὶ στυπτικὸν ἔχειν τι. διὰ δὲ τὴν τούτων ἐνέργειαν οὖσαν σφοδρὰν εὐλόγως ἐμίχθη λιβανωτός τε καὶ ὁ τῆς γλυκείας χυλὸς καὶ τραγακάνθης, πραῦνειν τὰ τετραχυσμένα πεφυκότα φάρμακα. περὶ δὲ κρόκου καὶ σμύρνης πολλάκις εἴπομεν, ὅτι πεττικὰ καὶ ξηραντικὰ μετρίως τῶν τοιούτων διαθέσεών ἐστι.

Δωδεκάτην ἀρτηριακὴν ὁ Ἀνδρόμαχος ἔγραψεν οὕτως. ἄλλη ἐκ τῶν Γάλλου πρὸς τὰ τῆς ἀρτηρίας πάθη καὶ ἕλκη ἐν πνεύμονι καὶ πύου ἀναγωγὰς καὶ αἵματος καὶ τοὺς εἰς θώρακα ῥευματισμοὺς καὶ πρὸς τὰ δυσάγωγα σφόδρα ἐνεργεῖ. ⳨ ῥητίνης τερμινθίνης ⸂ δ′. κρόκου Κιλικίου ⸂ δ′. λιβανωτοῦ δραχμὰς δ′. σμύρνης Τρωγλοδύτιδος ⸂ δ′. κινναμώμου ⸂ δ′. ἀμώμου ⸂ γ′. στροβίλου ⸂ δ′. γλυκείας ῥίζης ἐξηντερισμένης ⸂ δ′. νάρδου Συριακῆς ⸂ β′ ′′. κασσίας μελαίνης ⸂ β′. τραγακάνθης ⸂ γ′. φοινίκων Συριακῶν τῆς σαρκὸς ⸂ γ′. ἀστέρος Σαμίου ⸂ δ′. χαλβάνης καθαρᾶς
13.29 τετρώβολον, κόστου ⸂ δ′. ἐν ἄλλῳ ⸂ α′. μέλιτος Ἀττικοῦ κοτύλας δ′. ἕψεται ἐν διπλῷ τὸ μέλι τε καὶ ἡ ῥητίνη. ὅταν δὲ ἄρχηται συστρέφεσθαι, χαλβάνη μίγνυται ἄχρις ἂν μὴ μολύνῃ, εἶτα ψυγέντι λεῖα τὰ λοιπὰ μίγνυε καὶ οὕτω χρῶ. καλῶς ἐποίησε ἐπὶ τούτου τοῦ φαρμάκου καὶ πρὸς τίνας διαθέσεις ἁρμόττει γράψας καὶ πῶς αὐτὸ χρὴ σκευάζειν. ἡ δὲ μέθοδος τῆς συνθέσεως ἐκ τῶν ἔμπροσθεν δήλη ἐστίν.

Τρισκαιδεκάτην ἀρτηριακὴν ὁ Ἀνδρόμαχος ἔγραψεν αὐτοῖς ὀνόμασιν οὕτως. ἀρτηριακὴ ἡ Γάλλου. ἡ δ᾽ αὐτὴ καὶ ἀντίδοτος πρὸς τὰ αὐτὰ ποιοῦσα. ⳨ νάρδου Συριακῆς ⸂ δ′. σμύρνης δραχμὰς δ′. κρόκου ⸂ δ′. κόστου δραχμὰς δ′. οἱ δὲ ⸂ α′. πεπέρεως λευκοῦ κόκκους λ′. γλυκείας ῥίζης ⸂ α′. στροβίλους ρ′. στύρακος ⸂ α′. τραγακάνθης ⸂ α′. κινναμώμου ⸂ α′. ἀμώμου ⸂ α′. λιβάνου ⸂ α′. ὀβολοὺς δ′. κασσίας σύριγγος ⸂ α′. βαλαυστίου δραχμὰς γ′. ὀβολοὺς γ′. μέλιτος Ἀττικοῦ ἢ γλυκέος Κρητικοῦ

κοτύλας β′. ὁ γλυκὺς ἐν διπλῷ ἕψεται, ἕως ἂν μέλιτος σχῇ πάχος, εἶθ’
13.30 οὕτω καταχεῖται κατὰ λείων τῶν ξηρῶν. ἡ δὲ τραγάκανθος καὶ ὁ στύραξ πρὸ μιᾶς ἀποβρέχονται ἐν προτρόπῳ ἱκανῷ καὶ οὕτω μίγνυται τοῖς λοιποῖς, εἶθ’ οὕτως ἀναιρεῖται εἰς πυξίδα ἀργυρᾶν ἢ ὑελίνην. καλῶς ἐποίησεν καὶ ταύτην τὴν ἐπαγγελίαν καὶ τὴν σκευασίαν εἰπών. ἐγὼ δὲ διὰ τοῦτο πάσας τὰς ὑπ’ αὐτοῦ γεγραμμένας ἀρτηριακὰς ἔγραψα, ὅπως μηδεὶς ἑτέρου συγγραφέως δεηθῇ. πᾶν γὰρ εἶδος ἐν αὐταῖς ἐστι καὶ τῶν μαλακῶν καὶ τῶν ἰσχυρῶν καὶ τῶν μέσων.

Τεσσαρεσκαιδεκάτη τῶν ἀρτηριακῶν ἐστι, περὶ ἧς οὕτω γράφει. ἀρτηριακὴ ἡ ἐκ τῶν Ἀφρόδα, ἡ Μοσχίωνος. ἔστι δ’ αὐτῆς ἡ δύναμις ὑπὲρ τὰς μέσας οὐκ ὀλίγον ἀποκεχωρηκυῖα πρὸς ἰσχύν, ἔχει γὰρ τμητικὸν καὶ λεπτυντικὸν καὶ θερμαντικὸν ἀπὸ πολλῶν φαρμάκων οἷς μέμικται καί τινα τῶν πραέων δι’ ἣν εἶπον αἰτίαν. ἡ δὲ σύνθεσις αὐτῆς ἔστιν ἥδε. Ⳋ μίλτου Λημνίας, λιβάνου, σμύρνης, νάρδου, ἀμώμου, κασσίας κιρρᾶς, κρόκου, Ἰλλυρίδος, σχοίνου ἄνθους ἀνὰ ⩽ β′. κινναμώμου ⩽ δ′. ῥητίνης τερμινθίνης ⩽ δ′. ῥόδων ἄνθους ⩽ δ′. ὀποβαλσάμου ⩽ β′. μέλιτος κοτύλην
13.31 α′. ἢ γλυκέος Κρητικοῦ κοτύλης ἥμισυ τέταρτον, ἕψε τὸ ὑγρὸν καὶ τὴν ῥητίνην, ἕως γένηται κιρρά, εἶτα τὰ λοιπὰ ἄρας ἀπὸ τοῦ πυρὸς ἀπόδος καὶ συνανακόψας δίδου τοῖς περὶ θώρακα καὶ ἀρτηρίαν ἡλίκον κύαμον Ἑλληνικὸν μεθ’ ὕδατος κοτύλης τετάρτου. τοῖς δὲ λοιποῖς ἐκλεικτόν.

Πεντεκαιδεκάτην ἔγραψε δύναμιν ὡδί πως. ἀρτηριακὴ πρὸς τραχυσμὸν βρόγχων καὶ φωνῶν ἀποκοπὴν καὶ ἀναφορικούς, ᾗ χρῶμαι ἐκ τῶν Ἀπολλωνίου καὶ Ἀλκιμίωνος. Ⳋ τραγακάνθης ⩽ στ′. κόμμεως ⩽ στ′. λιβάνου ⩽ α′. ὀβολὸν α′. σμύρνης ⩽ α′. ὀβολοὺς β′. κρόκου ⩽ α′. ὀβολοὺς δύο, γλυκυρρίζης χυλοῦ ⩽ α′. ὀβολοὺς γ′. ἢ τῆς ῥίζης ⩽ α′ ′′. πεπέρεως λευκοῦ κόκκους κε′. φοινικοβαλάνων λιπαρῶν τῆς σαρκὸς ⩽ γ′. οἱ δὲ φοίνικας ε′. ἢ τρεῖς, τὴν τραγάκανθαν γλυκεῖ βρέχων καὶ λειώσας ἀναλάμβανε. τὰ δὲ ἄλλα λεῖα καὶ καταπότια ποιῶν κυάμου μέγεθος, κέλευε ὑπὸ τὴν γλῶτταν κρατεῖν. τὰς τοιαύτας δυνάμεις ὑπογλωττίδας ὀνομάζουσιν οἱ ἰατροὶ καὶ κελεύουσι διαλυομένου τοῦ φαρμάκου
13.32 παραδέχεσθαί πως ἀτρέμα εἰς τὸν λάρυγγα τὸ ἀπορρέον ἀντέχοντας, εἰ βὴξ κινοῖτο.

Ἡ δὲ ἑκκαιδεκάτη κατὰ λέξιν οὕτω γέγραπται. ἀρτηριακὴ ἐκλεικτὸς πρὸς ἅπαντα τὰ ἐντὸς καὶ μάλιστα πρὸς φθισικοὺς καὶ ἐμπυϊκοὺς καὶ πρὸς τοὺς ἀρχομένους ὕδρωπας καὶ βῆχας παλαιὰς διδομένη δι᾽ ἡμέραν καὶ νύκτα πλῆθος κοχλιαρίου. σκίλλης χυλοῦ ξέστας δ . γλυκέος Κρητικοῦ γ . οἴνου Φαλερίνου ξέστας η . μέλιτος Ἀττικοῦ γ . σμύρνης γο δ . κρόκου γο β . λιβάνου γο β . ἀριστολοχίας δακτυλίδος μνᾶν α . γλυκυρρίζης μνᾶν α . ἠρυγγίου ῥίζης γο β . κασσίας γο α . νάρδου Κελτικῆς γο α . ξυλοβαλσάμου γο η . τὴν ἀριστολοχίαν καὶ τὸ ἠρύγγιον καὶ τὴν γλυκύρριζαν καὶ ξυλοβάλσαμον καὶ κασσίαν καὶ νάρδον κόψας ἀδρομερῆ, ἔμβρεχε εἰς τοὺς τοῦ οἴνου ξέστας η . ἐπὶ ἡμέρας γ . εἶτα ἐπὶ μαλακοῦ πυρὸς ἕψε, ἕως λειφθῇ τὸ τρίτον μέρος, καὶ οὕτως ἐκθλίψας καὶ σκύβαλον ῥίψας προσαπόδος τὸ γλυκὺ καὶ τὸ μέλι καὶ τὸν χυλὸν τῆς
13.33 σκίλλης καὶ ἕψε ἕως μέλιτος σχῇ πάχος. τὸν δὲ κρόκον καὶ λίβανον καὶ σμύρνην ἐξῆς λεῖα σὺν οἴνῳ καὶ οὕτως εὖ ἔχοντος τοῦ φαρμάκου προσαπόδος, καὶ ἐπ᾽ ὀλίγον τήξας ἆρον ἀπὸ τοῦ πυρὸς καὶ οὕτως ἀποθέμενος χρῶ. καλῶς ἐποίησε καὶ περὶ αὐτῆς γράψας ὁ Ἀνδρόμαχος τήν τε ἐπαγγελίαν καὶ τὴν σκευασίαν.

Ἑπτακαιδεκάτη δύναμις ὑπ᾽ αὐτοῦ γέγραπται τοιάδε. ἀρτηριακὴ ἄλλη, ὡς Ἡρακλείδης Ταραντῖνος. ℞ σκίλλης χυλοῦ ξέστας γ′. γλυκέος Κρητικοῦ ξε. γ′. οἴνου Φαλερίνου ξέστας γ′. μέλιτος Ἀττικοῦ κοτύλην α′. κρόκου γο δ′. οἱ δὲ γο β′. σμύρνης γο γ′. τραγακάνθης γο α′. γλυκείας χυλοῦ γο β′. λιβάνου γο α′. ὀποβαλσάμου γο στ′. σκευάσας χρῶ. περὶ ταύτης τῆς δυνάμεως οὔτε τὴν ἐπαγγελίαν οὔτε τὴν σκευασίαν ἔγραψεν, ὡς ἤδη νοεῖν δυναμένων τῶν ἀναγινωσκόντων τὴν γνώμην αὐτοῦ. ἐν μὲν γὰρ τῷ εἰπεῖν, ἄλλη ἀρτηριακὴ, παραπλησίαν τὴν ἐπαγγελίαν αὐτῆς ἡμᾶς νοεῖν προσήκει τῇ γεγραμμένῃ, τὴν δὲ σκευασίαν ἐκ τῶν ἔμπροσθεν λογίζεσθαι.

Ἡ δὲ ὀκτωκαιδεκάτη δύναμις οὕτω γέγραπται. ἀρτηριακὴ ἐκ τῶν
13.34 Περιγένους πρὸς πάντα τὰ τῆς ἀρτηρίας πάθη. ℞ κρόκου ʃ α′. σταφίδος ἐκγεγιγαρτισμένης ʃ α′. ἀμυγδάλων ʃ η′. σμύρνης τετρώβολον, τραγακάνθης ʃ δ′. πεπέρεως λευκοῦ τετρώβολον, μέλι ἑφθόν. ἡ σταφὶς φρύγεται, τὰ δ᾽ ἀμύγδαλα λεπίζεται, ἡ τραγάκανθα ἐν ὕδατι βρέχεται καὶ

λεαίνεται ἡμέραν μίαν καὶ οὕτω μίγνυται ὁμοῦ. καὶ περὶ ταύτης καλῶς ἐποίησε τὴν ἐπαγγελίαν καὶ τὴν σκευασίαν εἰπών, μέσης δέ ἐστι δυνάμεως τὸ φάρμακον, διὸ καὶ πρὸς πάντα φησὶν αὐτὸ χρήσιμον ὑπάρχειν. ἔστι γὰρ ἡ τῶν μέσων φαρμάκων φύσις τοιαύτη, διὸ καὶ αὐταῖς μὲν μέσαις διαθέσεσι κυρίως τε καὶ πρώτως ἁρμόττει. ταῖς δ' ἤτοι μαλακῶν ἢ ἰσχυρῶν δεομέναις φαρμάκων οὐδὲν οὔτε ἀγαθὸν οὔτε κακὸν ἐργάζεται μέγα.

Ἐσχάτην ἁπασῶν ἀρτηριακὴν ἔγραψεν ὠδί πως. ℞ οἰνομέλιτος παλαιοῦ ξε. γ ′ . ἕψε ἄχρις εἰς ἕνα, εἶτα ἐπίβαλε στροβίλων πεφωγμένων ἡμίναν, πεπέρεως λευκοῦ γο β ′ . καὶ χρῶ. ἦν ἂν τοῦτο τὸ φάρμακον ἐν τοῖς μαλακωτάτοις, εἰ μὴ τοῦ πεπέρεως εἴληφέ τι. τοῦτο δὲ λαβὼν ἐπὶ τὴν
13.35 τῶν μέσων ἀφικνεῖται δύναμιν, διὸ καὶ ὁμογενὲς αὐτὸ τῷ προγεγραμμένῳ νομίζων εἶναι ὑπέγραψεν.

Αἱ ὑπὸ Κρίτωνος γεγραμμέναι ἀρτηριακαὶ τὸν ἀριθμὸν τέσσαρες. Καὶ τῶν ὑπὸ Κρίτωνος γεγραμμένων ἀρτηριακῶν ἀρκέσει μνημονεῦσαι τεσσάρων. γράφει δὲ περὶ μὲν τῆς πρώτης ὠδί πως κατὰ λέξιν. πρὸς ἀποκεκομμένας φωνὰς διὰ μελέτην. σῦκα καὶ ἠρύγγιον ἑψήσας καλῶς τῷ ἀφεψήματι μίσγε κόμμι, ὥστε γενέσθαι μέλιτος σκληρότερον, καὶ δίδου εἰς νύκτα. ποιεῖ δὲ καὶ τὸ ἀμμωνιακόν. καὶ διὰ τοῦτο τῆς δυνάμεως αὐτῆς ἐμνημόνευσα, διότι κατὰ μὲν ἀρχὰς ἐπιτήδειός ἐστιν ἡ προγεγραμμένη δύναμις, εἰ διὰ τοῦ ἠρυγγίου σκευάζοιτο, τὸ δὲ ἀμμωνιακὸν ἐπὶ τῶν κεχρονισμένων, ἰσχυρὸν μὲν γάρ ἐστι φάρμακον. οὐ καλῶς οὖν ἐποίησεν ὁ Κρίτων, ἀδιορίστως γράψας ἅμα τῷ μετρίῳ φαρμάκῳ τὸ ἰσχυρότατον. ἐὰν γὰρ ἐναλλάξῃς τοῦ σκληροῦ τῆς χρήσεως αὐτῶν, οὐ μόνον οὐδὲν ὀνήσεις, ἀλλὰ καὶ βλάψεις τὸν ἄνθρωπον. ἑτέραν ἀρτηριακὴν ἔγραψεν ὁ Κρίτων μέσην τῇ δυνάμει, πεπτικήν τε καὶ ἄδηκτον, ὠδί πως κατὰ λέξιν. ἄλλη ποιοῦσα μάλιστα φωνασκοῖς καὶ
13.36 πρὸς τραχεῖαν ἀρτηρίαν καὶ τοὺς τῆς βηχὸς παροξυσμοὺς καὶ ὠταλγίας καὶ ἕλκη ἐν ὠσὶ καὶ αἰδοίῳ. ἔστι δὲ καὶ πεπτικὴ πρὸς κατάρρους. ℞ λιβάνου ὀβολοὺς δ′. σμύρνης ‹ β′. γλυκέος κυάθους γ′. ἕψε τὸ γλυκὺ ἕως σχῇ μέλιτος τὸ πάχος, εἶτα πρόσβαλλε σμύρναν καὶ λίβανον μετὰ γλυκέος ἡμιέφθου ἐξ αὐτοῦ ἀφῃρημένου. ποιεῖ δὲ καὶ πρὸς

δυσεντερικοὺς καὶ κοιλιακούς. τινὲς μίσγουσι καὶ κρόκου ‹ α′. καὶ γίνεται ὠτικὴ καλὴ καὶ πρὸς ὀφθαλμῶν φλεγμονάς. ταῦτα μὲν ὁ Κρίτων ἔγραψε καὶ σοφῶς καὶ καλῶς. ἐμὲ δ’ οὐδὲν ἔτι δεῖ προστιθέναι τὴν ἐξήγησιν τῶν τοιούτων φαρμάκων, πολλάκις ἤδη περὶ αὐτῶν εἰρηκότα. καὶ ἄλλας δὲ δύο παραπλησίας μὲν τῇ προειρημένῃ, μετριωτέρας δὲ τῇ δυνάμει καὶ ἁπλουστάτας οὕτως ἔγραψεν. ἔκλειγμα τὸ Φαουστιανὸν λεγόμενον. Ꮔ οἴνου Φαλερίνου ξε. α ′. μέλιτος Ἀττικοῦ λίτραν α ′. ἔψε ἐν διπλώματι, κινῶν κλωνίῳ πηγάνου. τὸ δὲ ἕτερον τῶν φαρμάκων ἐστὶ τοιοῦτον. ἔκλειγμα τὸ διὰ Σκυβελίτου, ᾧ χρώμεθα. Ꮔ Σκυβελίτου ξέστην α ′. κόμμεως γο γ ′. μέλιτος γο θ ′. ἔψε ἐν διπλώματι προβρέξας τὸ κόμμι
13.37 καὶ λειώσας. οὗτος μὲν ἐνταῦθα προσέθηκε μόνον τὸ ἐν διπλώματι. κάλλιστα δ’ ἄν τις ποιοῖ αὐτὰς ἁπάσας τὰς ἀρτηριακὰς, ὅσαι τὸ παρηγορικὸν καὶ πεπτικὸν καὶ πραϋντικὸν ἔχειν ἐπαγγέλλονται, διὰ διπλώματος ἕψων, ὅπερ ἐστὶν ἐπ’ ἀγγείου διπλοῦ, καθάπερ οἱ μυρεψοὶ τὰ μύρα σκευάζουσιν εἰς μέγαν τινὰ λέβητα θερμὸν ὕδωρ ἐγχέοντες, δεύτερον ἐνιστάντες ἔχοντα ἐν αὐτῷ τὸ ἑψόμενον φάρμακον, εἶτα προδιακεκαυμένοις ἄνθραξιν ἢ ξύλοις ἀκάπνοις ὑποκαίοντες.

Ἡ διὰ κωδυῶν, ὡς οἱ παλαιοὶ καὶ ὡς ὁ Γαληνός. Καὶ περὶ τὴν ταύτης σύνθεσιν ἀδιορίστως αὐτοῖς γέγονε διαφωνία. τινὲς μὲν γὰρ αὐτῶν εἰς ρκ′. κωδύας ἐμβάλλειν ξέστας κ′. ὕδατος ἀξιοῦσιν, ὡς ἑκάστου ξέστου μέτρον ἔχοντος ἓξ κωδυῶν μίξιν. ἔνιοι δὲ εἰς ξε. π′. ὀκτακοσίας κωδύας ἐμβάλλουσιν, ὡς ἑκάστου ξέστου δεχομένου κωδύας ι′. τινὲς δὲ οὕτως, ὡς ὀκτὼ κωδυῶν τοῦ ξέστου δεχομένου. τινὲς δὲ οὐκ οἶδ’ ὅπως εἰς
13.38 ὕδατος ξέστας γ′. κωδύας π′. βάλλουσιν. ἄλλοι δὲ ρκ′. εἰς τοὺς αὐτοὺς γ′. ξέστας. ἐμοὶ δὲ ὀλίγον πάνυ φαίνεται, τοσοῦτον ὕδωρ εἰς τοσαύτας κωδύας ἐμβάλλειν.

Ἡ διὰ κωδυῶν Ἀνδρομάχου. Ὁ μὲν οὖν Ἀνδρόμαχος, ὡς ἐν ταῖς ἀρτηριακαῖς ἀνωτέρω προγέγραπται, τὴν δευτέραν ἐν αὐτῷ σκευάζων, οὕτως ἔγραψεν. κωδύας χλωρὰς χιλίας διακοσίας, εἶτα ἐπὶ τέλει ὕδωρ ὄμβριον, οὐ προσθεὶς τὸ ποσόν.

Ἡ διὰ κωδυῶν Κρίτωνος. Ὁ δὲ Κρίτων ὠδί πως. ἡ διὰ κωδυῶν λιτὴ, κωδύας ἀγρίας ὀκτακοσίας, ὕδατος ξε. π′. ἑψήσας εἰς γ′. καὶ ἐκθλίψας

πρόσβαλλε μέλιτος λίτρας ι′. εἰ δὲ ποικίλην αὐτὴν ἐθέλοις γενέσθαι, πρόσβαλλε κρόκου, σμύρνης, ὑποκυστίδος χυλοῦ ἀνὰ δραχμὰς ιβ′. λιβάνου ‹ στ′. ἀκακίας δραχμὰς ιβ′. καλῶς οὖν μοι φαίνεται καθ’ ἕκαστον ξε. ἐμβάλλειν κωδύας ι′. οὕτω γὰρ συμβαίνει γράψαντος αὐτοῦ δεῖν ὀκτακοσίας ἐμβάλλειν εἰς ὕδατος ξέστας π′. κᾀγὼ δὲ τοῦτον τὸν
13.39 τρόπον σκευάζω μὴ προστιθεὶς μήτε κρόκου μήτε σμύρνης μήτ’ ἄλλο τι. καλλίστη γάρ ἐστιν ἡ ἁπλουστάτη.

Ἡ διὰ κωδυῶν τοῦ Ἥρα. Ὅ γε μὴν Ἥρας εἰς ρκ′. κωδύας, ὕδατος ὀμβρίου ξε. γ′. ἐμβάλλει, παντάπασιν ὀλίγον. ἢ κατά τινα τῶν ἀντιγράφων, οὐ κωδυῶν ἀριθμὸς ρκ′. ἀλλὰ δραχμὴ γέγραπται. παραγράψω δὲ τὴν ὅλην αὐτοῦ λέξιν οὕτως ἔχουσαν. κωδύας μήκωνος χλωρὰς ρκ′. βαλὼν εἰς ἀγγεῖον καὶ ὕδατος ὀμβρίου ξε. γ′. ἔασον βραχῆναι ἡμέρας γ′. εἶτα ἕψε ἕως ἂν λειφθῇ τὸ τρίτον μέρος, εἶτα ἄρας ἀπὸ τοῦ πυρὸς ἔκθλιβε, καὶ διηθήσας μίσγε μέλιτος ξε. α′. καὶ ἕψε ἐν διπλῷ ἀγγείῳ. ὅταν δὲ ἄρχηται συστρέφεσθαι, προσέμβαλλε ἀκακίας κιρρᾶς ‹ α′. ὑποκυστίδος χυλοῦ ‹ α′. ὅταν δὲ τὰς κωδύας ἕψῃς ἐν τῷ ὕδατι, κρόκου δραχμὴν μίαν ἔνδησον εἰς ὀθόνιον καὶ ἔασον συνέψεσθαι. ἔνιοι μέντοι βάλλουσι καὶ σμύρνης ‹ α′. καὶ λειοτριβοῦσιν αὐτὰ σὺν ὀλίγῳ γλυκεῖ καὶ ἐπικατερῶσι καὶ
13.40 συνέψουσι μέχρις οὗ ποσῶς συστραφῇ. εἰ μέντοι βούλοιο μὴ φαρμακώδη ποιῆσαι αὐτὴν σὺν τῷ ἀφεψήματι τῶν κωδυῶν, ἐπειδὰν τὸ τρίτον λειφθῇ μέρος, συνεψήσεις τὸ μέλι, τὸ λοιπὰ μὴ συνεμβάλλων.

Ἡ διὰ κωδυῶν, ὡς Δαμοκράτης. Ἐσκευάσθη δὲ τὸ φάρμακον τοῦτο, ὡς Δαμοκράτης φησὶν, ὑπὸ Θεμίσωνος πρώτου, γράφων οὕτως ἐν τῷ βιβλίῳ τῷ ἐπιγραφομένῳ, Δαμοκράτους φιλίατρος· ἴσμεν δ’ ὅτι διὰ στίχων γέγραπται. φασὶ δὲ Θεμίσωνα τοῦτο πρῶτον σκευάσαι τὸ φάρμακον πρὸς βῆχας ὑγρὰς καὶ πόνους ἀρτηρίας καὶ φάρυγγος, εἴδη ῥευμάτων ἁπλῶς ἁπάντων τῶν περὶ τὸν θώρακα καὶ τὰς ἀγρυπνίας, ὧν γε ταῦτά ἐστιν αἴτια.

Μήκωνος ἣν λέγουσιν οἱ γεηπόνοι
Μήκωνα ἀγρίαν. οὐδὲ γάρ πω σπείρεται,
Κεφαλὰς ἔτι χλωρὰς, ἃς λέγομεν καὶ κωδύας
Τὸ σπέρμ’ ἐχούσας κιρρὸν, οὐδέ πω μέλαν,

Τρὶς τεσσαράκοντα τὰς μετρίας τοῖς μεγέθεσι
Βάλλ᾽ εἰς χύτραν καινήν τε καὶ πλατύστομον,
Καὶ περιχέας τρεῖς ὕδατος ὀμβρίου μέτρῳ
13.41 Ξέστας, ἀπόβρεξον νύκτα χἠμέραν μίαν,
Εἶτ᾽ αὖ μίξας ἐπιπλέον οὐ λάβρῳ πυρὶ,
᾽Απόθλιβ᾽ ἀπ᾽ αὐτῶν ἅπαν ὕδωρ εἰς τὴν χύτραν,
Καὶ προσλαβὼν τρεῖς μέλιτος Ἀττικοῦ λίτρας,
Πάλιν ἕψε κουφοτέρᾳ καὶ μετρίῳ φλογὶ,
Καὶ ἕψε ἕως σχῇ μέλιτος οὐχ ὑγροῦ πάχος.
Ψύξας δ᾽ ἀποθήσεις εἰς ὑελοῦν ἀγγεῖον.
῾Ημεῖς μὲν οὕτως. ὁ Θεμίσων δ᾽ ὅτ᾽ ἤρξατο
Χρῆσθαι, προσέβαλλε σμύρναν, ἀκακίαν, κρόκον,
῾Υποκυστίδος χυλόν τε, νῦν δ᾽ οὐ βάλλεται.
᾽Απλουστέρα γὰρ οὖσα καὶ τὸ συμφέρον
Ἔχει πολὺ μᾶλλον καὶ προσηνής ἐστ᾽ ἄγαν.
Δίδου δὲ πλῆθος σμικροτάτου μύστρου ποτὲ
Εἰς νύκτα τοῦτο, ποτὲ δ᾽ ἔλαττον ἡμέρας
᾽Εν τῷ στόματι καὶ διακρατοῦν ὀλίγῳ χρόνῳ
Κέλευε τήκειν καὶ καταπίνειν ἠρέμα.
Εἰ δ᾽ αὐτὸ βούλει κοιλίας ἐφεκτικὸν,
Τῶν ῥευμάτων τε τοῦ στομάχου καὶ πνεύμονος
13.42 Αἱμορραγιῶν τε τῶν ἄνω διαφράγματος
Ποιεῖν, εὐπατορικῆς ἢ τὸ κρεῖττον Ποντικῆς
῾Ροὸς καταμίξεις χυλὸν ὡς δραχμὰς δύο.
Ταὐτὸν δ᾽ ἀκακίας τῆς καλῆς καὶ προσφάτου.
Μέλλων δ᾽ ἀφαιρεῖν τοῦ πυρὸς τὸ φάρμακον,
Γλυκὺ διαχέας, ταῦτα δύο μίγματα,
Παράχει κατὰ μικρὸν τοῖς ζέουσιν τῆς χύτρας
Συνεκζέσας ἀποτίθου ὑάλῳ ψυγέν.

῾Η διὰ κωδυῶν, Σωρανοῦ. Σωρανὸς δὲ οὕτω σκευάζειν αὐτὴν ἀξιοῖ. ⅁ κωδυῶν ρν′. ὕδατος κ′. λαβὼν εἰς λέβητα καινὸν, ἕψε ἕως ι′. εἶτα ἐκβαλὼν τὰς κωδύας, βάλε μέλιτος α′. καὶ ἐνδήσας εἰς ὀθόνιον, σμύρνης, κρόκου, ὑποκυστίδος, ἀκακίας χυλοῦ ἀνὰ δραχμὴν μίαν καὶ

τριώβολον, καὶ ἀποδήσας ἀποκρέμασον εἰς τὸν λέβητα, ἵνα τῷ μέλιτι συνέψηται. ἐπειδὰν δὲ συστραφῇ, ἆρον τὸ ἐνδέσμιον καὶ βαλὼν εἰς θυΐαν
13.43 τρῖψον μετὰ γλυκέος κυάθων γ′. εἶτα βαλὼν εἰς τὸν λέβητα συνέψει μαλακῶς, μέχρι συστραφῇ. πραοτέρα δέ ἐστιν ἡ διὰ μόνου μέλιτος καὶ τοῦ ἀποβρέγματος τῶν κωδυῶν. ἀνυτικωτέρα δὲ γίνεται προσλαβοῦσα ἐν τῇ ἀποδήσει τοῦ ὀθονίου μελίλωτον ἀντὶ τῶν στυφόντων καὶ γλυκυρρίζης ῥίζαν.

Γαληνοῦ ἡ διὰ κωδυῶν. Ὡς ἐγὼ συντίθημι κεχρῆσθαι τῇ διὰ τῶν κωδυῶν ἀξιῶ. πειραθέντι μοι γὰρ τῶν προειρημένων σκευασιῶν ἔδοξεν ἀμείνων εἶναι καθ’ ἣν εἰς ἕνα ξε. ἐμβάλλονται κωδύαι δέκα, καθάπερ ὁ Κρίτων ἔγραψεν, ἢ εἰς δύο ξε. ιε′. καθάπερ ὁ Σωρανὸς, ἐν τῷ μέσῳ δ’ ἀμφοῖν τούτων τῶν ὅρων ἐστὶν, ἐμβαλλόντων ἡμῶν ὀκτὼ κωδύας ἢ θ′. προβρέχω δ’ αὐτὰς οὐ τρισὶν ἡμέραις, ὡς Ἥρας, ἀλλ’ οὐδὲ εὐθέως ἀφαιρεθείσας ἕψω, ἀλλ’ ἐὰν μὲν ὦσιν ὑγρότεραί τε καὶ μαλακώτεραι μιᾶς ἡμέρας, ὑπακουομένης ἐν ταῖς τοιαύταις λέξεσιν ἁπάσαις καὶ τῆς νυκτὸς, ὥσπερ καὶ τὸν ἐνιαυτὸν ἡμέρας λέγουσιν οἱ ἄνθρωποι τξε′. ἐὰν
13.44 δὲ σκληρότεραι καὶ ξηρότεραι τυγχάνωσιν οὖσαι καὶ πλείονι χρόνῳ τῆς μιᾶς ἡμέρας αὐτὰς διαβρέχω, ἄμεινον δὲ τὰς μή πω σκληρὰς λαμβάνειν. εὔδηλον δ’ ὅτι καὶ τὰς λίαν μαλακὰς ἀποβάλλεσθαι προσήκει. αἱ μὲν γὰρ ξηρότεραι ὀλίγον τὸν χυλὸν ἔχουσιν, αἱ δὲ ὑγρότεραι πολὺν μὲν, ἀλλ’ ἄπεπτον ἔτι καὶ ὑδατώδη καὶ ἄτονον, διὸ καὶ τὰς ἐξ ὑγρῶν καὶ ἑλωδῶν χωρίων παραιτητέον. ὃν δ’ εἶπον ἀριθμὸν τῶν κωδυῶν ἐμβάλλειν χρῆναι κατὰ τὴν ἀναλογίαν τοῦ ὕδατος, ἐπὶ τῶν μέσων ἀκούειν χρή. ἐπειδὴ τινὲς μέν εἰσι μείζους τῶν συμμέτρων, τινὲς δὲ ἐλάττους, ἔνιαι δὲ καὶ μέσαι, καθάπερ εἴωθεν ὡς τὸ πολὺ γίνεσθαι, πασῶν ἐφεξῆς τὸν εἰρημένον ἀριθμὸν ἐμβάλλῃς τῷ ξε. τῆς δὲ ἑψήσεως ὅρος ἔστω σοι μὴ τὸ τρίτον ἢ τὸ τέταρτον ἢ ὅλως τοιοῦτόν τι μόριον ἀπολειφθῆναι τοῦ ὕδατος, ἀλλ’ ὅταν πρῶτον ὅλαι τακεραὶ γενηθῶσι, βουλόμεθα γὰρ αὐτῶν δηλονότι τὸν χυλὸν ἐκθλίψαι. τοῦτο δ’ αὐτάρκως γίνεται τακερῶν ἀποτελεσθεισῶν αὐτῶν, περιττὸν οὖν τὸ ἐπιπλέον ἕψειν. μίγνυσθαι δ’
13.45 ἀξιῶ τούτῳ μέλιτος ἥμισυ μέτρον καὶ ἕψεσθαι ἐπὶ ἀκάπνου πυρὸς ἄχρι συστάσεως Ἀττικοῦ μέλιτος. ἐν ὀμβρίῳ δὲ ὕδατι ἔνιοι τὴν ἕψησιν ἐποιήσαντο τῶν κωδυῶν διὰ τοῦ μὴ μεταβάλλειν αὐτὸ πρὸς ἑτέραν

ποιότητα σηπεδονώδη. σοὶ δ’ ἀρκέσει καὶ τὸ πηγαῖον, ὅταν μὴ παρῇ τὸ ὄμβριον. ἀρκεῖ δὲ αὐτὸ καθαρὸν εἶναι καὶ ἄκρατον πάσης ἐπιμιξίας, ὥστε διὰ τοῦτο καὶ τὸ διὰ τῶν μολυβδίνων σπλήνων ὀχετευόμενον φευκτέον. ἰλύματα γάρ τινα τοῦ μολύβδου κατὰ τοῦτο περιέχεται. διὸ καὶ οἱ πίνοντες ὑποστάθμην τοῦ τοιούτου ὕδατος δυσεντερικοὶ γίνονται.

Περὶ χρήσεως τοῦ διὰ κωδυῶν. Ἡ χρῆσις δὲ αὐτοῦ τοῖς ὕπνου δεομένοις ἐστὶν, οἷς καὶ τὰ δι’ ὀπίου συντιθέμενα πολλάκις ἀναγκαζόμεθα διδόναι. χρῄζουσι δὲ μάλιστα τῶν τοιούτων φαρμάκων οἷς ἀπὸ κεφαλῆς εἰς τὴν τραχεῖαν ἀρτηρίαν καταρρεῖ ῥεῦμα λεπτὸν, οὐκ ἐπιτρέπον κοιμᾶσθαι διὰ τὰς ἑπομένας βῆχας. ἐπὶ δὲ τῶν τοιούτων ἐγὼ καὶ τὴν σκευασίαν τοῦ φαρμάκου δι’ ἐψήματος εἴωθα ποιεῖσθαι. λέλεκται δέ μοι πρόσθεν, ἕψημα καλεῖσθαι πρὸς ἡμῶν τὸ ἑψημένον γλεῦκος, ὅπερ καὶ σίραιον
13.46 ὀνομάζουσί τινες τῶν ἰατρῶν. αὐτάρκης δ’ ἡ ἕψησις εἰς τὰ τοιαῦτά ἐστιν, ὅταν εἰς τὸ ἥμισυ τοῦ ὕδατος ἑψηθῶσιν αἱ κωδύαι καὶ διὰ γλυκέος ἢ Θηραίου τοῦ Κρητικοῦ κάλλιον ἢ διὰ μέλιτος ἕψειν, ὅταν ᾖ τὸ ῥεῦμα πάνυ λεπτόν. ἴσμεν γὰρ ὅτι λεπτυντικῆς ἐστι δυνάμεως τὸ μέλι. φεύγειν οὖν αὐτὸ χρὴ τηνικαῦτα, τοὺς γὰρ λεπτοὺς κατάρρους ἐπιτείνει. μιγνύναι δὲ ἑψομένῳ τῷ τοιούτῳ φαρμάκῳ γλυκυρρίζης ῥίζαν, ὡς συνεψηθῆναι. μὴ παρούσης δ’ ἐκείνης, τὸν ἀπὸ τῆς Κρήτης κομιζόμενον χυλόν. ἐὰν δὲ περιέχηται κατὰ τὸν πνεύμονα καταρροϊκὸν ἀπὸ τῆς κεφαλῆς πλῆθος, ἡ διὰ τοῦ μέλιτος σκευασία βελτίων. ὥσπερ γὰρ ὕπνου χρῄζουσιν ἡ δι’ ἐψήματος, οὕτω καὶ τοῦ διαπτύειν ἡ διὰ τοῦ μέλιτος γίνεται. καὶ πρὸς τὸ κατεπεῖγον οὖν ἱστάμενος εἰς ὕπνον τρεπομένου τοῦ κάμνοντος, ἤτοι τοῦ διὰ μέλιτος ἢ τοῦ χωρὶς τούτου σκευασθέντος δώσεις φαρμάκου, καὶ ποτὲ καὶ μιγνὺς ἄμφω, σκοπὸν ἔχων κατὰ τὴν μίξιν ἐμβάλλειν πλέον θατέρου
13.47 τοῦ κατεπείγοντος. ὀνομάζω δὲ κατεπεῖγον τὸ δεόμενον βοηθείας μείζονος. ἡ δὲ σύμμετρος δόσις ἔστω σοι δυοῖν κοχλιαρίων ἀξιολόγων τὸ μέγεθος. αὐξήσεις δὲ αὐτὴν ἢ μειώσεις ἀποβλέπων εἴς τε τὸ τοῦ σώματος μέγεθος ᾧ προσφέρεις καὶ τὴν ἡλικίαν καὶ τὴν ὥραν τοῦ ἔτους καὶ τὸ χωρίον. ἐν ἅπασι γὰρ τούτοις ἐπὶ μὲν τὸ ψυχρότερον ῥέπουσι δώσεις ἐλάχιστον, ἐπὶ δὲ τὸ θερμότερον ἐκτενέστερον. ὅτι δὲ καὶ πρὸς τὸ τοῦ κατάρρου ποσόν τε καὶ ποιὸν ἀποβλέπων ἢ πολὺ ἢ ἔλαττον δώσεις εὔδηλον ὑπάρχει. κοινὸν γὰρ τοῦτο ἐπὶ πάντων τῶν βοηθημάτων ἐστίν.

αὐτάρκεις μὲν οὖν ἦσαν καὶ αἱ γεγραμμέναι πρόσθεν ἀρτηριακαί· προσθεῖναι δ' ἔδοξέ μοι καὶ τὰς ὑπὸ τοῦ Ἀσκληπιάδου γεγραμμένας ἐν τῷ β′ τῶν ἐντός. ἔνιαι μὲν γὰρ ταὐταὶ πάντῃ, τινὲς δὲ ἐγγυτάτω ταῖς προγεγραμμέναις εἰσὶν, ὥστε βεβαιοῦσθαι κᾀκ τούτου τὰς γραφὰς, καὶ προσέτι διὰ τὸ τὰς σκευασίας αὐτῶν καὶ χρήσεις ἐπιμελέστερον ὑπ' Ἀσκληπιάδου γεγράφθαι.

Αἱ ὑπ' Ἀσκληπιάδου γεγραμμέναι ἀρτηριακαὶ ἐν τῷ δευτέρῳ τῶν ἐντὸς, ἃ Μνάσωνος ἐπιγράφει. Ἀντωνίου Μούσα πρὸς φωνῆς ἀποκοπήν.

13.48 Κράμβης χλωρᾶς τοὺς καυλοὺς καθάρας δίδου διαμασᾶσθαι, καὶ τὸ ἀχυρῶδες αὐτῶν ἀποπτύειν παραίνει, τὸν δὲ χυλὸν καταπίνειν. ἄλλη. κράμβης χυλὸν μετὰ μέλιτος ἑψήσας δίδου ἐκλείχειν. τοῦτο ὠφελεῖ παραχρῆμα. ἄλλη. ἠρυγγίου ἐν ὕδατι ἑψημένου λαβὼν τοῦ χυλοῦ κοτύλας δύο καὶ σύκων ἐν ὕδατι ἑψημένων τοῦ χυλοῦ τὸ ἴσον καὶ τούτοις ἐπιβαλὼν κόμμεως λειοτάτου ‹ η′. ἕψε φιλοπόνως, ὡς ἀρτηριακῆς ἔχειν τὸ πάχος, ἐκ τούτου δίδου ἐκλείχειν εἰς ὕπνον πορευομένοις μέχρι κυάθου ἑνός.

Ἄλλη ἀρτηριακὴ Χαριξένους. ποιεῖ πρὸς ἤχους καὶ βράγχους καὶ φωνῆς ἀποκοπὴν καὶ δασύτητα καὶ τὰς ἐκ διαστάσεως ἀποκοπάς. ⁊ Κρόκου δραχμὰς β′. ὀποῦ Κυρηναϊκοῦ ‹ α′. μέλιτος Ἀττικοῦ κυ. στ′. ἕψε τὸ μέλι, καὶ ὅταν συστραφῇ, ἐπίβαλε κατὰ τῶν λοιπῶν, καὶ χρῶ καθὰ προείρηται, ἀναπλάττων σφαιρία καὶ διδοὺς ὑπὸ τὴν γλῶτταν κατέχειν. ἄλλη. ⁊ χαλβάνης ‹ στ′. πεπέρεως ‹ α′. νίτρου ‹ α′. μέλιτος Ἀττικοῦ κυάθους στ′. ἕψε τὸ μέλι καὶ τὴν χαλβάνην, καὶ ὅταν συστραφῇ, ἐπίβαλε κατὰ τῶν λοιπῶν, καὶ χρῶ καθὰ προείρηται.

13.49 Ἄλλη πρὸς ἡλκωμένην ἀρτηρίαν Χαριξένους. ποιεῖ καὶ πρὸς φωνασκουμένους πρὸ τῶν ἀγώνων καὶ μετὰ τοὺς ἀγῶνας διδομένη. ποιεῖ δὲ καὶ πρὸς ὀφθαλμῶν περιωδυνίας, ἔξωθεν ἐπιτιθεμένη ἐρίου ἐμβρεχομένου, ποιεῖ καὶ πρὸς τὰς ἐντὸς διαθέσεις ἐκλειχομένη. ⁊ Κόμμεως, τραγακάνθης ἀνὰ ‹ στ′. λιβάνου, σμύρνης ἀνὰ ‹ α′. καὶ τριώβολον, κρόκου, ὑποκυστίδος χυλοῦ ἀνὰ ‹ α′. γλυκέος Σκυβελίτου ἢ Θηραίου ξέστας στ′. βρέχε κόμμι, τραγάκανθαν, σμύρνην, λίβανον ὑποκυστίδος χυλῷ, τούτοις ἐπιβαλὼν μέρος τοῦ γλυκέος, καὶ ὅταν

διαλυθῇ, τρῖβε φιλοπόνως καὶ τῷ γλυκεῖ μίξας ἔψε συνεχῶς κινῶν. τὸν δὲ κρόκον εἰς κροκοφαντὸν βαλὼν ἔψε μετὰ τοῦ φαρμάκου, ἄνω τὰς ἀρχὰς κατέχων καὶ γλυκεῖ διαλύσας καὶ λεάνας, ἐπιβαλὼν τῷ φαρμάκῳ, ἀνελόμενος χρῶ. ἄλλη. ℞ γλυκυρρίζης χυλοῦ, τραγακάνθης ἀνὰ δραχμὰς γ′. κρόκου, σμύρνης ἀνὰ ʃ α′. λιβάνου, ναρδοστάχυος ἀνὰ τριώβολον, προτρόπου ξέστας γ′. χρῶ.

13.50 Ἄλλη Λυσίου πρὸς τὰς αὐτὰς διαθέσεις. ℞ Κρόκου, σμύρνης, γλυκυρρίζης χυλοῦ, λιβάνου, κασσίας ἀνὰ ʃ α′. πεπέρεως κόκκους κδ′. γλυκέος Κρητικοῦ ξέστας γ′. μέλιτος Ἀττικοῦ κυάθους στ′. χρῶ.

Ἄλλη Χαριξένους. ℞ Κρόκου ʃ γ′. σμύρνης ʃ α′ ′. λιβάνου, γλυκυρρίζης ἀνὰ ʃ α′. γλυκέος Κρητικοῦ ξε. γ′. ποιεῖ πρὸς ἤχους καὶ βράγχους καὶ φωνῆς ἀποκοπὴν καὶ φλεγμονὴν παρισθμίων. ποιεῖ καὶ πρὸς φωνασκουμένους πρὸ τῶν ἀγώνων καὶ μετὰ τοὺς ἀγῶνας διδομένη. καὶ τοὺς κατεψυγμένους δὲ ὠφελεῖ, ποιεῖ βήττουσι προσφάτως καὶ χρονίως. ποιεῖ αἱμοπτυϊκοῖς, ἀναφορικοῖς, κοιλιακοῖς, ποιεῖ καὶ πρὸς τὴν τοῦ πνεύματος δυσωδίαν. ἄλλη ὑπογλωσσίς. ποιεῖ πρὸς ἀρτηρίαν τετραχυσμένην καὶ φωνῆς ἀποκοπὴν καὶ τὰς λοιπὰς διαθέσεις. ℞ τραγακάνθης, κόμμεως Θηβαϊκοῦ ἀνὰ δραχμὰς γ′. σμύρνης, λιβανωτοῦ ἀτμήτου ἀνὰ ʃ α′. καὶ τριώβολον, κρόκου ʃ α′. γλυκυρρίζης χυλοῦ τριώβολον, φοινικοβαλάνων τριῶν τὴν σάρκα, γλυκέος προτρόπου ἢ
13.51 Θηραίου, ὅσον ἐξαρκεῖ εἰς ἀνάληψιν. ἔστω δὲ ἀφεψημένον, ὥστε μέλιτος ἔχειν πάχος. δίδου δὲ κυάμου Αἰγυπτίου τὸ μέγεθος ὑπὸ τὴν γλῶτταν κατέχειν καὶ τὸ διαλυόμενον καταπίνειν.

Ἄλλη ὑπογλωσσὶς Διοσκορίδου. ℞ Κρόκου, σμύρνης, τραγακάνθης, γλυκυρρίζης χυλοῦ ἀνὰ ʃ α′. στρόβιλα κεκαυμένα ἀριθμῷ ξ′. ἀμύγδαλα καθαρὰ ἰσάριθμα, μέλιτι ἑφθῷ ἀναλάμβανε, ἡ δόσις καρύου Ποντικοῦ τὸ μέγεθος ὥστε ὑπὸ τὴν γλῶτταν κατέχειν.

Ἄλλη Σκριβωνίου Λάργου ὑπογλωσσίς. ποιεῖ πρὸς τὰς τῆς φωνῆς ἀποκοπάς. ℞ Κρόκου, τερμινθίνης ἀνὰ ʃ ιβ′. ἴρεως Ἰλλυρικῆς ʃ ιστ′. τραγακάνθης ʃ η′. πεπέρεως κόκκους τξ′. μετὰ μέλιτος ἑφθοῦ καὶ τερμινθίνης ὁμοῦ ἑφθῆς, χρῶ ὑπὸ τὴν γλῶτταν καρύου Ποντικοῦ τὸ

μέγεθος. ἄλλη Σκριβωνίου Λάργου ὑπογλωσσὶς ποιεῖ πρὸς τὰς τῆς φωνῆς ἀποκοπάς. ⳨ γλυκυρρίζης ‹ η′. σμύρνης ‹ κδ′. τερμινθίνης ‹ λβ′. τραγακάνθης ‹ λκ′. ἕκαστον τῶν ξηρῶν κόπτε κατ᾽ ἰδίαν καὶ σῆθε. τὴν δὲ ῥητίνην ἐφ᾽ ὅλμον βαλὼν, κόπτε καταπλάσσων τὰ ξηρὰ, εἶτα ἑνώσας
13.52 ἀνάπλαττε, κυάμου Αἰγυπτίου τὸ μέγεθος καὶ ξήναινε ἐν σκιᾷ. ἐπὶ δὲ τῆς χρήσεως δίδου μίαν ἢ δύο ὑπὸ τὴν γλῶτταν κατέχειν καὶ τὸ τηκόμενον καταπινέτω. δεῖ δὲ τὸ φάρμακον ταχέως ἀναπλάττειν. πρὸς ὃ οὖν ἀναπλάττεις, πρὸς τοῦτο κόπτε, ξηραίνεται γὰρ ταχέως καὶ διὰ τοῦτο ἀναπλάττοντα πρὸς χεῖρα δεῖ κόπτειν.

Ἄλλη ἀρωματικὴ Μιθριδάτειος. ποιεῖ πρὸς τὰς περὶ ἀρτηρίαν διαθέσεις πρὸς τὰς ἐν πνεύμονι ἑλκώσεις, αἱμοπτυϊκοῖς, φθισικοῖς, ἐμπυϊκοῖς, περιπνευμονικοῖς. ⳨ Κρόκου ‹ β′ ′′. σμύρνης, ῥητίνης τερμινθίνης ἀνὰ ‹ β′. λιβάνου ‹ α′ ′′. νάρδου, κινναμώμου, κασσίας, τραγακάνθης ἀνὰ ‹ α′. μέλιτος Ἀττικοῦ κοτύλην α′. ἕψε μέλι καὶ ῥητίνην, ὥστε ἄλκιμον γενέσθαι καὶ ἰνῶδες καὶ ἀμόλυντον ἐνσταζόμενον εἰς ὕδωρ ψυχρὸν καὶ κατέρα κατὰ τῶν ξηρῶν καὶ ἀνακόψας ἐπιμελῶς ἀνελοῦ, χρῶ καρύου Ποντικοῦ τὸ μέγεθος, δίδου ὑπὸ τὴν γλῶτταν κατέχειν, ὡς προείρηται. ἄλλη Μιθριδάτειος. ⳨ σμύρνης, κρόκου ἀνὰ ‹ δ′. νάρδου Ἰνδικῆς, τερμινθίνης ἀνὰ ‹ β′. λιβάνου, κασσίας, κινναμώμου ἀνὰ ‹ α′. γλυκέος
13.53 Κρητικοῦ κοτύλας γ′. ἕψε γλυκὺ καὶ τερμινθίνην μέχρι παντελοῦς συστάσεως καὶ κατέρα κατὰ τῶν ξηρῶν καὶ ἀνελόμενος δίδου καρύου Ποντικοῦ τὸ μέγεθος ὑπὸ τὴν γλῶτταν κατέχειν.

Ἄλλη διὰ τῆς πτέρεως Ἀνδρομάχου ἀρωματική· ἁρμόζει αἱμοπτυϊκοῖς, πλευριτικοῖς, φθισικοῖς, σπληνικοῖς, ἡπατικοῖς, ἰκτερικοῖς. ποιεῖ καὶ πρὸς τὰς περὶ μήτραν καὶ κύστιν διαθέσεις. Αἱ ῥίζαι πτέρεως ὡς ὅτι μάλιστα αἱ παχύταται πλύνονται ἐπιμελῶς, ἕως ἂν τὸ γεῶδες ἀποστῇ, εἶτα ψύχονται ἐπὶ ἡμέραν μίαν, ἐκ τούτων ιβ′. λίτραι κατατέμνονται εἰς δακτυλιαῖα μήκη καὶ κατατέμνοντες θραύομεν, ἐκ τούτων αἴρομεν ὁλκῆς λίτρας ι′. καὶ βάλλοντες εἰς κεραμεοῦν ἀγγεῖον, ἐπιβάλλομεν αὐταῖς ὕδατος γλυκέος ξε. ι′. καὶ θέντες ἐπὶ πυρὸς ἕψομεν. ὅταν δὲ εἰς ἥμισυ καταχθῇ, καθαιροῦμεν καὶ διυλίζομεν εἰς διπλοῦν ἀγγεῖον μυρεψικόν. καὶ τὰς μὲν ῥίζας ἐκθλίψαντες ῥίπτομεν, εἰς δὲ τὸ ὕδωρ ἐπιβάλλομεν ἁδρομερῶς

κεκομμένα, βαλαυστίου ‹ στ′. νάρδου Ἰνδικῆς, ῥόδων ξηρῶν ἀνὰ ‹ δ′. κινναμώμου ‹ γ′. γλυκυρρίζης ‹ στ′. κασσίας ‹ δ′. ῥήου Ποντικοῦ ‹ δ′. εἶτ’
13.54 ἐπὶ τὸ πῦρ ἐπιθέντες πάλιν ἕψομεν, καὶ ὅταν εἰς ἡμίσειαν καταντήσῃ, πάλιν διυλίζομεν εἰς ἕτερον ἀγγεῖον μυρεψικὸν μικρόν. καὶ τὰ μὲν ξηρώδη ἐκθλίψαντες ἀποβάλλομεν, τῷ δὲ ὕδατι ἐπιβάλλομεν μέλιτος Ἀττικοῦ ϰο δ′. καὶ μίξαντες ἐπιμελῶς καὶ ἐπὶ τὸ πῦρ ἐπιθέντες πάλιν ἕψομεν. καὶ ὅταν ἐπισταζόμενον εἰς ψυχρὸν ὕδωρ μὴ μολύνῃ, ἐπιβάλλομεν τούτοις ῥητίνης τερμινθίνης ‹ γ′. χαλβάνου ἀξύλου τὸ ἴσον. τακέντων δὲ τούτων κατεροῦμεν κατὰ τῶν ὑπογεγραμμένων. ἔστι δὲ ταῦτα, κρόκου, ὑοσκυάμου χυλοῦ, μανδραγόρου χυλοῦ, πεπέρεως λευκοῦ, ὑποκυστίδος χυλοῦ ἀνὰ ‹ α′. ἔχε πάντα ταῦτα λειότατα πρώτῳ χυλῷ τῆς πτέρεως ἐνωθέντα, ὥστε γλοιοῦ ἔχειν τὸ πάχος. κατεράσαντες οὖν κατὰ τούτων καὶ ἀνακόψαντες ἐπιμελῶς, μεταίρομεν εἰς ἀγγεῖον ὑελοῦν ἢ ἀργυροῦν· ἡ δόσις τοῦ φαρμάκου κοχλιάριον. μάλιστα δὲ ὠφελεῖ τοῖς τὴν φωνὴν παρακεκομμένοις.

Ἄλλη πανάκεια Μιθριδάτειος φωνασκουμένοις πρὸ τῶν ἀγώνων καὶ μετὰ τοὺς ἀγῶνας. ποιεῖ πρὸς ἀντιάδων φλεγμονὰς, κεχαλασμένας
13.55 κιονίδας, ποιεῖ πρὸς οὖλα πλαδαρὰ καὶ τὰς ἐν στόματι νομὰς καὶ σειομένους ὀδόντας. ἁρμόζει καὶ πρὸς κατάρρους, βήττουσι χρονίως καὶ προσφάτως, ποιεῖ αἱμοπτυϊκοῖς, ἐμπυϊκοῖς, ἀναφορικοῖς. Χρῶμαι δὲ τῷ φαρμάκῳ ὁτὲ μὲν ἀκράτῳ, ἔστι δ’ ὅτε λυθέντι γλυκεῖ ἢ Σκυβελίτῃ καὶ ὕδατι θερμῷ. πρὸς μὲν γὰρ τὰς τῶν παρισθμίων φλεγμονὰς καὶ τὰς τοιαύτας διαθέσεις χρηστέον ἀνιεμένῳ τῷ φαρμάκῳ, πρὸς δὲ τὰς ἐν βάθει διαθέσεις ἀκράτῳ. τὰ δὲ τῆς συνθέσεως ἔχει οὕτω. ϟ κωδύας μήκωνος ἀγρίας ἀριθμῷ ρν′. πτέρεως πεπλυμένης λίτρας γ′. συμφύτου κεκαθαρμένου, μανδραγόρου φλοιοῦ, ῥήου Ποντικοῦ, ῥόδων ξηρῶν, ἴριδος Χαλκηδονίας, γλυκυρρίζης Ποντικῆς, βαλαυστίου ἀνὰ γο γ′. κινναμώμου ‹ β′. νάρδου Κελτικῆς ‹ α′ ′′. ὕδατος ὀμβρίου ξε. ιε′. τὰ προειρημένα εἰς παχέα κόπτεται καὶ βρέχεται ἐν ἀγγείῳ διπλῷ μυρεψικῷ ἐπὶ ἡμέρας γ′. τῇ δ’ ἐπιούσῃ ἕψεται εἰς τὸ τρίτον, ἔπειτα εἰς κυρτίδα βαλόντες ἐκθλίβομεν τὸ ὑγρὸν εἰς ἕτερον ἀγγεῖον μυρεψικὸν, τὰ δὲ ἀφεψημένα ἀπορρίπτομεν. ἐκ δὲ τοῦ ἀποθλιβέντος ὑγροῦ βαλόντες ὅσον
13.56 ἐξαρκεῖ διαλύομεν τὰς ὑπογεγραμμένας σκευασίας. εἰσὶ δὲ αἵδε. κόμμεως,

τραγακάνθης λευκῆς, ἑκάστου ἀνὰ λίτραν α′. σμύρνης, γλυκυρρίζης χυλοῦ, ὑποκυστίδος χυλοῦ ἀνὰ γο β′. κρόκου, μαστίχης ἀνὰ γο α′. διαλυθέντων δὲ τούτων λεαίνομεν φιλοπόνως κατὰ μικρὸν ἐπιβάλλοντες τοῦ ἐκθλιβέντος ὑγροῦ, ἔπειτα χρώμεθα πρὸς τὴν τοῦ φαρμάκου σκευασίαν οἴνῳ Σκυβελίτῃ ἢ Θηραίῳ ἢ Πραμνείῳ. ἔστωσαν δὲ ξε. κδ′. τὸν δὲ γλυκὺν βάλλοντες εἰς ἄγγος κεραμοῦν ἕψομεν, καὶ ὅταν σχῇ μέλιτος πάχος, τούτῳ ἐπιβάλλομεν τὰ διαλυθέντα καὶ τριβέντα τῶν φαρμάκων καὶ πάλιν ἕψομεν μέχρι συστάσεως, εἶτα ἀνελόμενοι εἰς ἀγγεῖον ὑέλινον ἢ ἀργυροῦν χρώμεθα καθὰ προείρηται.

Ἄλλη πρὸς κατάρρους καὶ πάσας τὰς βηχώδεις διαθέσεις. Ἀσκληπιάδης ἐν τῷ πρώτῳ τῶν ἐντὸς οὕτως ἔγραψεν πρὸς κατάρρους, ᾧ ἐχρήσατο Κόμων ὁ φιλόσοφος ὠφελεῖ παραχρῆμα. ℈ πυρέθρου, κόστου ἀνὰ ʃ β′. πεπέρεως λευκοῦ ʃ α′. κόψας καὶ σήσας ἀπόθου. ἐν δὲ τῇ χρήσει κέλευε παράπτεσθαι τῶν μυξητήρων καὶ τὸ φάρμακον ἀνασπᾶν. ἄλλη. ℈
13.57 πεπέρεως λευκοῦ ʃ α′. κνίδης σπέρματος τὸ ἴσον, κόστου, σμύρνης, κρόκου ἀνὰ τριώβολον, σκεύαζε καὶ χρῶ καθὰ προείρηται.

Ἄλλη ἀνώδυνος Ἀντωνίου Μούσα, πρὸς κατάρρουν ποιοῦσα καὶ πρὸς τὴν τῆς φωνῆς ἀποκοπήν. ℈ Ὀπίου, σμύρνης, ὑοσκυάμου σπέρματος ἀνὰ ʃ β′. ἕκαστον ἔμβρεχε κωνείου ἀφεψήματι καὶ λεάνας ἐπιμελῶς καὶ μίξας ἀνάπλαττε καταπότια ὀρόβου τὸ μέγεθος καὶ δίδου δύο εἰς ὕπνον ἀπερχομένοις. ἄλλη ποιεῖ αἱμοπτυϊκοῖς. ℈ ὑοσκυάμου λευκοῦ σπέρματος δραχμὰς η′. νάρδου Ἰνδικῆς δραχμὰς στ′. κρόκου δραχμὰς δ′. ὀπίου, ἀμύλου, ἀνίσου ἀνὰ δραχμὰς β′. μίλτου Λημνίας δραχμὴν μίαν, ὕδατι ἀναπλάσας, ποίει καταπότια ὀροβιαῖα τῷ μεγέθει καὶ χρῶ καθὰ προείρηται. ἄλλη ἔκλεικτος πρὸς βῆχας ἐσχάτους καὶ χρονίους. ℈ οἴνου Φαλερίνου ξε. α′. μέλιτος Ἀττικοῦ λίτραν α′. ἕψε συνεχῶς κινῶν κλωσὶ πηγάνου καὶ δίδου μύστρον, ποιεῖ καὶ στομαχικοῖς. ἄλλη Πετεινοῦ πρὸς τὰς ἐν βάθει ἑλκώσεις καὶ διαπυήσεις. ℈ οἰνομέλιτος παλαιοῦ ξε. α′.
13.58 ἀξουγγίου παλαιοῦ γο β′. οἱ δὲ γο α′. τρῖβε φιλοπόνως μετὰ τοῦ οἰνομέλιτος καὶ διαλύσας μετέρα εἰς ἄγγος κεραμεοῦν καὶ ἕψε ἐπ᾽ ἀνθράκων κινῶν κλωσὶ πηγάνου, καὶ ὅταν συστραφῇ, ἀπόθου εἰς ἄγγος ὑέλινον καὶ δίδου ἐκλείχειν μύστρον καθὰ προείρηται. ἄλλη Ὠριγενείας.

⁊ γλυκυρρίζης Ποντικῆς ‹ β′. κνίδης σπέρματος πεφωγμένου, λίνου σπέρματος πεφωγμένου ἀνὰ ‹ α′. σμύρνης, κρόκου ἀνὰ ὀβολὸν, μέλιτος Ἀττικοῦ, ὕδατος ἑκάστου ἀνὰ κυάθους ἓξ, ἔψε γλυκύρριζαν τῷ ὕδατι, ἔπειτα τὸ ὑγρὸν ἐκθλίψας τρῖβε τὰ λοιπὰ καὶ ἀναλάμβανε μέλιτι ἑφθῷ καὶ δίδου ἐκλείχειν. ἄλλη. ⁊ ἄρου ὀπτοῦ ‹ α′. ἄμμεως πεφωγμένου, στροβίλων πεφωγμένων, ἐρυσίμου πεφωγμένου ἀνὰ ‹ α′. μέλιτι ἑφθῷ ἀναλάμβανε. ἄλλο κοπτάριον βήσσουσιν. ⁊ λινοσπέρματος πεφωγμένου καὶ κεκομμένου καὶ σεσησμένου, σταφίδος λιπαρᾶς χωρὶς τῶν γιγάρτων ἀνὰ ξε. α′. στροβίλων πεφωγμένων, καρύων Ποντικῶν κεκαθαρμένων ἀνὰ κοτύλην α′. πεπέρεως λευκοῦ γο β′. σμύρνης, κρόκου ἀνὰ γο α′.

13.59 μέλιτος Ἀττικοῦ λίτρας δ′. κόπτε ὡς χρὴ, καὶ λεάνας ἀπόθου. τὸ δὲ λινόσπερμα ἔψε μετὰ μέλιτος, καὶ ὅταν συστραφῇ, ἐπίβαλλε τοῖς λοιποῖς καὶ μίξας ἀνάκοπτε, δίδου καρύου Ποντικοῦ τὸ μέγεθος. ἄλλο, ποιεῖ καὶ ταῖς περὶ τὸν θώρακα διαθέσεσιν. ⁊ ἀλεύρου ἐρεγμινοῦ λειοτάτου πεφωγμένου κοτύλην α′. Ἰλλυρίδος κεκομμένης γο γ′. στροβίλων πεφωγμένων γο β′. γλήχωνος ξηρᾶς κεκομμένης ‹ α′ ′′. κνίδης σπέρματος ‹ α′. πεπέρεως γο ′′. μέλιτος χρηστοῦ. ξε. β′. ἔψε τὸ ἄλευρον μετὰ τοῦ μέλιτος, ἕως συστραφῇ. ἔχε δὲ καὶ λίνου σπέρματος κεκομμένου καὶ πεφωγμένου καὶ σεσησμένου κοτύλην α′. καὶ ἐπίβαλλε. ἄλλο πρὸς βῆχα καὶ ἀναγωγὴν πνεύματος, πάνυ καλῶς ἐκκαθαῖρον. ⁊ ὑσσώπου, γλήχωνος ἀνὰ γο β′. ἴρεως, νάπυος σπέρματος, καρδαμώμου ἀνὰ γο α′. ἀνίσου, πεπέρεως ἀνὰ γο α′. κόψας, σήσας, ἀναλάμβανε μέλιτι ἀπέφθῳ, ἡ δόσις κοχλιαρίου καλοῦ. εἰ δὲ χειμὼν εἴη καὶ ἀπύρετος ὁ λαμβάνων, πεπέρεως γο β′. καὶ ἀντὶ ἀνίσου μάραθρον ἢ κύμινον καὶ ἀντὶ καρδαμώμου σίνηπι διπλοῦν. καταπότιον βηχικὸν πρὸς τὰς προσφάτους διαθέσεις πανάκεια φάρμακον ἀνώδυνον καὶ ὑπνοποιὸν, ποιεῖ

13.60 αἱμοπτυϊκοῖς. ⁊ στύρακος ‹ η′. ὀπίου, σμύρνης ἀνὰ ‹ δ′. γλυκεῖ διαλύσας ἀνάπλαττε καταπότια καὶ δίδου ὀρόβου μέγεθος εἰς ὕπνον ἀπερχομένοις. ἐν ἄλλαις γραφαῖς ἴσα ἔχει. ἄλλο Πλάτωνος ἐπιγραφόμενον, ὠφελεῖ παραχρῆμα. ⁊ στύρακος, σμύρνης, ὀπίου, χαλβάνης, ἑκάστου ἴσον, γλυκεῖ διαλύσας ποίει καταπότια. ἄλλο Βάσσου ἐπιγραφόμενον φάρμακον ἐπιτετευγμένον ὠφελεῖ παραχρῆμα, ποιεῖ αἱμοπτυϊκοῖς, ἀναφορικοῖς, ἐμπυϊκοῖς. ⁊ χαλβάνης, στύρακος, ἴριδος Ἰλλυρικῆς, πίτυος

φλοιοῦ ἀνὰ ‹ β′. ἑλενίου, ὀπίου ἀνὰ ‹ α′. ἀναλάμβανε μέλιτι ἑφθῷ καὶ δίδου ἐρεβίνθου τὸ μέγεθος καὶ μελικράτου κυάθους γ′. ἡ διὰ πρασίου, Πλάτωνος. ⁋ σμύρνης, στύρακος, ὀπίου, πρασίου χυλοῦ, χαλβάνου, κρόκου ἴσα σκεύαζε καὶ χρῶ, μέλιτι ἀπέφθῳ ἀναλάμβανε. καταπότιον ἀνώδυνον φάρμακον ἐπιτετευγμένον πρὸς τὰς κεχρονισμένας διαθέσεις, ποιεῖ πρὸς κατάρρουν, κεφαλαλγικοῖς, δυσπνοϊκοῖς, περιπνευμονικοῖς πρὸς τὰς περὶ κύστιν καὶ μήτραν διαθέσεις. ἐπιγράφεται ἐπιτετευγμένη
13.61 πανάκεια, παρὰ δέ τισιν ὁ στίχος. ⁋ σμύρνης, πεπέρεως, ὀπίου, στύρακος, καστορίου, χαλβάνης ἴσα, γλυκεῖ ἀναλάμβανε καὶ ποίει καταπότια καὶ χρῶ. ἄλλο φάρμακον σφόδρα καλὸν, ἐπιγράφεται ἁρμονία, ποιεῖ πρὸς κατάρρους καὶ τοὺς ἀνυπερβλήτους ἐπισταγμούς. ⁋ στύρακος, καστορίου, πεπέρεως, καρδαμώμου ἀνὰ ‹ γ′. ὀπίου, σμύρνης, ὑοσκυάμου λευκοῦ σπέρματος ἀνὰ ‹ δ′. ἀναλάμβανε γλυκεῖ καὶ ποίει καταπότια καὶ δίδου ἐρεβίνθου μέγεθος εἰς ὕπνον. ἄλλο. ⁋ κρόκου, θείου ἀπύρου, σμύρνης, ὀπίου ἀνὰ ‹ δ′. ὑοσκυάμου λευκοῦ σπέρματος, καρδαμώμου, πεπέρεως λευκοῦ ἀνὰ ‹ η′. μέλιτος ἑφθοῦ γο ε′. ἢ ὅσον ἐξαρκεῖ. ἡ χρῆσις δεδήλωται, ὡς προγέγραπται εἰς ὕπνον ἀπερχομένοις. ἡ Προξένου πρὸς βῆχας χρονίους καὶ τὰς ἄγαν κεχρονισμένας διαθέσεις καθύγρους, ἡ σύμφωνος λεγομένη. ἔστι δὲ καὶ ληξοπύρετος ἀγαθὴ, ᾗ ἐχρήσατο Ἀντώνιος Μούσας. ⁋ πεπέρεως λευκοῦ, ὀπίου, καρδαμώμου ἀνὰ ‹ η′. κρόκου, θείου ἀπύρου, σμύρνης, ὑοσκυάμου λευκοῦ σπέρματος ἀνὰ ‹ δ′. μέλιτος ἀπέφθου γο στ′. ἡ δόσις καρύου Ποντικοῦ τὸ μέγεθος μεθ’ ὑδρομέλιτος κυ. γ′.

13.62 Βηχικαὶ αἱ ὑπὸ Ἀνδρομάχου γραφεῖσαι ἐν τῇ τῶν ἐντὸς δυνάμεων βίβλῳ. Γράψας ὁ Ἀνδρόμαχος βηχικὰς πολλὰς, ἐφεξῆς ἔγραψεν ἁπάσας καρούσας καὶ διὰ τοῦτο καλουμένας ὑπνοποιούς. παχύνειν δὲ αὗται τὰ λεπτὰ ῥεύματα πεφύκασιν, ξηραίνουσαί τε καὶ ψύχουσαι καὶ διὰ τοῦτο τινὲς μὲν οὐ μόνον ὄπιον, ἀλλὰ καὶ μανδραγόρας χυλὸν ἢ τῆς ῥίζης τὸν φλοιὸν ἢ ὑοσκυάμου σπέρμα, τινὲς δὲ καὶ δύο καὶ τρία καὶ πάντα ἔχουσι τὰ τοιαῦτα, καθάπερ ἄλλαι στύρακα καὶ κρόκον. εὐλόγως δὲ τούτοις ἔμιξαν ἄλλα τὰ μὲν θερμαίνοντα, τὰ δὲ μετὰ βραχείας στύψεως ἀρωματίζοντά τε καὶ ξηραίνοντα. καί τινα σπέρματα συνήθη, καθάπερ ἀνίσου καὶ μαράθρου καὶ σελίνου καὶ δαύκου καὶ σεσέλεως, ἀμβλύνοντά

τε τὰς φαρμάκων ἀηδίας τε καὶ δυνάμεις, ἐπ᾽ οὖρά τε προτρέποντα. τινὰ δὲ καὶ τραχύτητας ἐκλεαίνοντα, καθάπερ τὴν τραγάκανθαν καὶ τὴν γλυκύρριζαν καὶ τοὺς γλυκεῖς οἴνους. ὅσαι δὲ αὐτῶν ἧττον κατέχουσι τῶν καρωτικῶν φαρμάκων, ταύτας καὶ τοῖς φθισικευομένοις διδόασιν.

13.63 βηχικὴ ἡ διὰ δύο πεπέρεων ⁊ κινναμώμου δραχμὴν μίαν, ὀποῦ μήκωνος ‹ α′. σμύρνης τριώβολον, πεπέρεως μέλανος τριώβολον, κόστου τριώβολον, καστορίου τριώβολον, πεπέρεως λευκοῦ τριώβολον, χαλβάνης τριώβολον, κρόκου τὸ ἥμισυ, τροχίσκους ποίει, δίδου σὺν μέλιτι ἢ γλυκεῖ. ἄλλη πρὸς βῆχας ἐξόχως ποιοῦσα, ἡ αὐτὴ καὶ ληξοπύρετος. ⁊ ὑοσκυάμου σπέρματος γο ′′. εἰς τὸ ἀντίγραφον γο α′. καρδαμώμου ‹ α′. ὀποῦ μήκωνος γο α′. σμύρνης, θείου ἀπύρου, κρόκου ἀνὰ γο ′′. πεπέρεως λευκοῦ, ὡς Ἥρας γο α′ ′′. μέλιτος Ἀττικοῦ τὸ ἱκανόν. ἄλλη πρὸς βῆχα ξηράν. ⁊ στύρακος μέρος ἓν, μηκωνείου ἴσον, κρόκου μέρος ′′. ὁμοῦ συγκόψας, δίδου καταπότια. βηχικὴ ᾗ χρῶμαι ἡ τοῦ ἱερέως καλή. ⁊ ὀποῦ μήκωνος ‹ ι′. θρίδακος σπέρματος ‹ κ′. καστορίου ‹ ιη′. οἱ δὲ ‹ ιστ′. πηγάνου ἡμέρου ξηροῦ ‹ ιδ′. λινοσπέρματος ‹ ιστ′. πάνακος ‹ λστ′. σμύρνης δραχμὰς ιδ′. κρόκου δραχμὰς ζ′. οἱ δὲ γο α′. μέλιτι ἀναλάμβανε, δίδοται πρὸς δύναμιν ἡλίκον Αἰγυπτίας κυάμου μέγεθος, πυρέσσουσιν ἐν ὕδατι, ἀπυρέτοις ἐν οἴνῳ εἰς νύκτα.

13.64 Καταπότιον βηχικὸν ᾧ χρῶμαι. ⁊ Στύρακος, σμύρνης, ὀπίου ἀνὰ ‹ δ′. ὀποβαλσάμου, κρόκου ἀνὰ ‹ β′. ὁμοῦ λεάνας ἀναλάμβανε καὶ χρῶ. πρὸς βῆχα ξηράν. ⁊ γλυκείας χυλοῦ δραχμὰς β′. στύρακος ‹ α′. ὀπίου, κρόκου, σμύρνης ἀνὰ τριώβολον, ἀναλάμβανε γλυκεῖ ἢ ὕδατι ἡλίκον κυάμου Ἑλληνικοῦ μέγεθος καὶ χρῶ.

Φθισικοῖς πότιμα ᾧ χρῶμαι τὸ παρὰ Ῥιπάλου ἐν πολλοῖς χρήσιμον, Μηνοδώριος καὶ ἀμβροσία, ποιεῖ πρὸς περιοδικοὺς πυρετούς. ⁊ Νάρδου, κρόκου, σμύρνης, κόστου, κασσίας, κινναμώμου, σχίνου, πεπέρεως μέλανος καὶ λευκοῦ, καστορίου, χαλβάνης, τερμινθίνης, στύρακος, ὀποῦ μήκωνος, ὑοσκυάμου σπέρματος ἀνὰ δραχμὰς γ′. ἀνίσου ‹ α′. σελίνου σπέρματος ‹ α′. τραγακάνθης δραχμὰς στ′. μέλιτος τὸ ἱκανὸν, οἴνου Φαλερίνου κοτύλην α′. τὴν τραγάκανθαν οἴνῳ τῷ αὐτάρκει βρέξον καὶ τὸ λοιπὸν μῖξον τῷ μέλιτι. ἡ δόσις πυρέσσουσι μετὰ μὲν ὑδρομέλιτος ‹ α′

 ′′. ἀπαρέτοις δὲ καὶ καὶ μέλιτος γο ′′. καὶ ὄξους κοχλιάριον α′. καὶ οἴνου Φαλερίνου κυάθους β′.

13.65 Ἀπολλωνίου ποιοῦσα πρὸς πολλὰ, μάλιστα δὲ πρὸς βῆχας ἐξόχως. ⁋ Καρδαμώμου ⩽ ιη′. σμύρνης δραχμὰς ιβ′. ὑοσκυάμου ⩽ ιβ′. ὀπίου δραχμὰς ι′. οἱ δὲ ⩽ ιβ′. πετροσελίνου σπέρματος ⩽ ιβ′. κρόκου ⩽ ιε′. μανδραγόρου μήλων δραχμὰς ι′. ζιγγιβέρεως ⩽ η′. θείου ἀπύρου ⩽ στ′. ἄρου ⩽ στ′. λιβάνου ⩽ στ′. κόστου ⩽ στ′. πεπέρεως λευκοῦ ⩽ στ′. μέλιτος Ἀττικοῦ. ἄλλη πρὸς τὰς ἐντὸς ἀποστάσεις, ἀνακαθαίρουσα καλῶς. ⁋ σαγαπηνοῦ ⩽ β′. σμύρνης δραχμὰς β′. καρδαμώμου ⩽ δ′. ἐν ἄλλῳ ⩽ α′. καστορίου ⩽ α′. πεπέρεως λευκοῦ τριώβολον, ὀπίου δραχμὰς β′. σὺν ὕδατι ἀνάπλασσε τροχίσκους ἀνὰ ὀβολῶν δυοῖν, ἡ δόσις σὺν ὕδατι.

Ἰσόθεος βηχικὴ καὶ πρὸς φθίσεις καὶ πάντα τὰ ἐντὸς καὶ πρὸς περιοδικά. ⁋ Νάρδου ⩽ β′. σμύρνης ⩽ α′. κρόκου ⩽ α′ ′′. κόστου ⩽ α′. πεπέρεως λευκοῦ ⩽ α′. χαλβάνης ⩽ α′. ὀποβαλσάμου τρυγὸς δραχμὰς β′. κινναμώμου ⩽ β′. μανδραγόρου χυλοῦ ⩽ β′. καστορίου δραχμὰς β′. δαύκου σπέρματος ⩽ α′ ′′. ὀπίου ⩽ β′. ἀμώμου ⩽ α′ ′′. κασσίας
13.66 μελαίνης ⩽ α′ ′′. μέλι ἑφθόν. ποιεῖ πρὸς πόνους στομάχου, ἥπατος, πνεύμονος, ὀφθαλμῶν, αἵματος ἀναγωγὰς, ἀποστάσεις, δυσεντερικοῖς, εἰλεώδεσι, νεφριτικοῖς, ἰσχιαδικοῖς, δυσπνοϊκοῖς, ἰσχουριῶσιν, πλευρῶν πόνοις, ὑποχονδρίων, ῥοῦν γυναικεῖον, πνίγας ὑστερικάς. θαυμαστὴ γὰρ ἡ ἀντίδοσις πρὸς θανάσιμα καὶ μετὰ τροφὴν καὶ πρὸ τροφῆς καὶ πρὸς πᾶσαν αἱμορραγίαν σὺν ψυχρῷ καὶ πρὸς ἐχιοδήκτους καὶ φαλαγγιοπλήκτους ἐν οἴνου κυάθοις τρισὶ τεταρταϊκοῖς πρὸ τῆς ὥρας δίδου ὀβολοὺς δύο σὺν οἴνου κυάθοις τρισὶ προλουσαμένοις.

Πότιμα πρὸς βῆχας καὶ δύσπνοιαν καὶ ἄλλα πολλὰ Ἀντιπάτρου, ᾧ χρῶμαι. ⁋ Στύρακος δραχμὰς στ′. τερμινθίνης ⩽ δ′. ὀποπάνακος δραχμὰς β′. χαλβάνης ⩽ β′. ἴρεως Ἰλλυρικῆς δραχμὰς β′. σμύρνης δραχμὰς β′. ὑοσκυάμου σπέρματος λευκοῦ τετρώβολον, ἀφρονίτρου τετρώβολον, πεπέρεως λευκοῦ τετρώβολον, ὀπίου ὀβολοὺς ε′. δίδου ἡλίκον Αἰγύπτιος κύαμος εἰς κοίτην, καί τινες τοῦ ὀπίου ⩽ α′. οἱ δὲ τριώβολον.

Ἐκλεικτὴ βηχική. ⁊ Πυρήνων στροβίλων ‹ ιβ′. λινοσπέρματος
13.67 πεφωγμένου ‹ η′. τραγακάνθης ‹ ιβ′. φοινίκων σαρκὸς ‹ ιη′. ἴρεως Ἰλλυρικῆς ‹ ιβ′. ἀμυγδάλων γλυκέων ‹ ιστ′. μέλι ἑφθόν. δίδου δακτύλῳ ἐκλείχειν δὶς τῆς ἡμέρας, πρωΐ καὶ δείλης. ἐπί τινων τὴν τραγάκανθαν ὕδατι ὀμβρίῳ διαλύσας ἔψε σὺν τῷ μέλιτι πρώτην.

Καταπότιον βηχικὸν, ὡς Κρίσπος ὁ ἀπελεύθερος. Σμύρνα, πέπερι λευκὸν, χαλβάνη, καστόριον, στύραξ, κρόκος, ὄπιον, ἑκάστου ἴσον, τοῦ στύρακος τὸ ἥμισυ, δίδου εἰς νύκτα καταπότια β′. βηχικὴ Σκριβωνίου. ⁊ σελίνου σπέρματος ‹ β′. σχοίνου ἄνθους, νάρδου Κελτικῆς, στύρακος, κρόκου ἀνὰ ‹ α′. βαλαυστίου τριώβολον, ὀποῦ μήκωνος ‹ δ′. μέλιτος τὸ ἱκανὸν, δίδου κυάμου μέγεθος, ἀπυρέτοις δι᾽ ὑδρομέλιτος, πυρέσσουσι δι᾽ ὕδατος. βηχικὴ Ἀσκληπιάδου. ⁊ ῥήου Ποντικοῦ, κρόκου Κιλικίου, ὀποῦ μήκωνος, ναρδοστάχυος, λιβάνου, σμύρνης ἀνὰ ‹ α′. νάρδου Κελτικῆς ῥίζης γο β′. στύρακος γο γ′. δίδοται ‹ α′. σὺν οἰνομέλιτι.

Θεσπιανὴ Ἀπολλωνίου, πρὸς τὰς ἐντὸς ἀποστάσεις. ⁊ Σελίνου σπέρματος
13.68 ‹ γ′. μηκωνείου ‹ γ′. μελανθίου ‹ γ′. ἴρεως Ἰλλυρικῆς ‹ ζ′. καστορίου ‹ β′. δαύκου σπέρματος ‹ ζ′. Σινωπίδος ‹ ζ′. ἀναλάμβανε μέλιτι Ἀττικῷ ἑφθῷ καὶ δίδου καρύου Ποντικοῦ μέγεθος ἐν ὕδατι.

Καταπότιον ξηραντικὸν, πρὸς τοὺς ῥευματιζομένους τὸν θώρακα καὶ πρὸς μύλης πόνον καὶ περιοδίζοντα καὶ σκορπιοδήκτους. ⁊ Ὀποῦ μήκωνος, ὑοσκυάμου σπέρματος, ἑκάστου ἴσον, ἀνάπλασσε μετὰ γλυκέος ἢ μέλιτος ἡλίκον κύαμος ὁ Ἑλληνικὸς, δίδου εἰς νύκτα, ὕπνον ποιοῦν ὠφελεῖ.

Ληξοπύρετος ἡ Παμφίλου μιγματοπώλου καλή. Ὑοσκυάμου σπέρματος γο α . καρδαμώμου ἐξηντερισμένου γο α . ὀποῦ μήκωνος γο α . θείου ἀπύρου γο . κρόκου γο . σμύρνης γο . εὐφορβίου β . κόστου γ . ἴρεως Ἰλλυρικῆς γ . πεπέρεως λευκοῦ δ . μέλιτος τὸ ἱκανὸν χρῶ.

Βηχικὸν ἐπιτετευγμένον καὶ πρὸς ἄλλα πολλὰ καὶ πρὸς βῆχα ὑγρὰν καταπότιον ⁊ Σχοίνου ‹ στ′. ὀπίου ‹ δ′. χαλβάνης ‹ στ′. στύρακος ‹ δ′. ἔστιν ἡλίκον ἀράκιον εἰς κοίτην.

13.69 Ληξοπύρετος Δαρείου, ταύτῃ καὶ ἀντιδότῳ ἐχρήσατο πρὸς πάντα καὶ παρίσθμια καὶ βῆχας καὶ συνάγχας. ⁋ Κρόκου γο α′. πεπέρεως γο ε′. σμύρνης γο α′. μηκωνείου γο α′. λιβάνου ἴσον, ὑοσκυάμου σπέρματος ἴσον, καρδαμώμου ἴσον, κόστου ᾱ δ′. ἴρεως Ἰλλυρικῆς ᾱ γ′. ἀριστολοχίας ᾱ β′. μέλιτι Ἀττικῷ.

Ἄλλο πρὸς πᾶσαν βῆχα πεπειραμένον. ⁋ Ἀνίσου ᾱ α′. κόστου τριώβολον, σμύρνης ᾱ α′. καστορίου, χαλβάνης, πεπέρεως λευκοῦ, ὑοσκυάμου σπέρματος, ὀπίου, γλυκείας χυλοῦ ἀνὰ ᾱ α′. γλυκεῖ ἀναλάμβανε, ποιῶν καταπότια ἡλίκα ἐρεβίνθιον εἰς νύκτα δίδου.

Καταπότιον πεπτικὸν, ἐκ τῶν Περιγένους, πρὸς βῆχα καὶ κατάρρουν. ⁋ Στύρακος ὀβολοὺς δύο, πεπέρεως κόκκους κ′. σμύρνης ᾱ β′ ′′. ὑοσκυάμου σπέρματος τετρώβολον, εὐφορβίου ᾱ β′. ἴρεως Ἰλλυρικῆς ᾱ β′. ὀποπάνακος ᾱ β′. κρόκου τριώβολον, ὀπίου τριώβολον, τερμινθίνης ᾱ α′.
13.70 πεπέρεως λευκοῦ τριώβολον, χαλβάνης ᾱ β′. λεάνας ἀναλάμβανε τῇ χαλβάνῃ καὶ τῇ ῥητίνῃ καὶ τῷ ὀπίῳ καὶ τῷ στύρακι δίδοται πρὸς δύναμιν.

Βηχικὴ Ἀπολλωνίου καλή. ⁋ Μαλαβάθρου φύλλων ᾱ η′. κρόκου ᾱ στ′. ὀποβαλσάμου ᾱ α′. ναρδοστάχυος ᾱ α′. ῥόδων ξηρῶν, σχοίνου ἄνθους ἀνὰ ᾱ α′. κόστου, κασσίας, στύρακος, σμύρνης, μήου ἀνὰ ᾱ γ′. σταφίδος καθαρᾶς ᾱ ιστ′. μανδραγόρου χυλοῦ ᾱ στ′. μέλιτος τὸ ἀρκοῦν. τὴν σταφίδα ἐν Κρητικῷ βρέχε γλυκεῖ νύκτα καὶ ἡμέραν, εἶτα τὰ ξηρὰ συμμίξας λέαινε καὶ τὸ μέλι μίσγε καὶ ἀποθέμενος χρῶ

Βηχικὸν πότιμα ἐκ τῶν Ἀπολλωνίου καὶ πρὸς ῥοῦς γυναικείους. ⁋ Ὑοσκυάμου σπέρματος ᾱ γ′. σμύρνης ᾱ γ′. κρόκου, μανδραγόρας χυλοῦ, λιβάνου ἀνὰ ᾱ γ′. πεπέρεως λευκοῦ καὶ μέλανος ἀνὰ ᾱ δ′. ἄγνου ᾱ γ′. ὀπίου ᾱ γ′. μέλιτος καὶ οἴνου Χίου τὸ ἀρκοῦν, ἡ δόσις κυάμου τὸ μέγεθος.

Πρὸς βῆχα καὶ ἀρχομένας φθίσεις καὶ αἱμοπτυϊκοὺς καὶ ῥευματισμούς. ⁋ Ὑοσκυάμου σπέρματος ᾱ δ′. μανδραγόρας μελαίνης ῥίζης ᾱ δ′. ῥήου ᾱ γ′.
13.71 κοραλλίου ᾱ γ′. ὀπίου ᾱ γ′. λυκίου ᾱ β′. βαλαυστίου ᾱ γ′. λιβάνου ᾱ ε′. τραγακάνθης ᾱ β′. κρόκου ᾱ γ′. ὕδατι ἀναλάμβανε τριωβολιαίαν, δίδου αἱμοπτυϊκοῖς καὶ ἐν ὀξυκράτῳ τοῖς λοιποῖς ἐν ὕδατι.

Πότιμα παρὰ Κλητίου Ἀβασκάνθου πρὸς φθισικευομένους, ᾧ χρῶμαι κατακόρως, ἀνεπιτήδειον δέ ἐστι πρὸς αἵματος ἀναγωγήν. ⁋ Ἀριστολοχίας δακτυλίδος ‹ κ′. θείου ἀπύρου ‹ κ′. μανδραγόρου φλοιοῦ ‹ κ′. λιβάνου ‹ μ′. γεντιανῆς ‹ λ′. σεσέλεως ‹ λ′. ὀπίου ‹ μ′. ὑοσκυάμου λευκοῦ σπέρματος ‹ μ′. σμύρνης ‹ μ′. κρόκου ‹ η′. πεπέρεως λευκοῦ κόκκους ρ′. εὐφορβίου ‹ ι′. δαφνίδων ‹ ζ′ ′′. κόστου ‹ ζ′ ′′. καρδαμώμου ‹ ζ′. κόψας ἐν οἴνῳ εὐφόρβιον καὶ σμύρναν καὶ ὄπιον οἰνομέλιτι καὶ τὸν ὑοσκύαμον καὶ τὰ λοιπὰ κόψας ἰδίᾳ εἰς τὸ αὐτὸ μῖξον καὶ μέλιτι ἀφεψημένῳ, χρῷ μὴ προσφάτῳ τῷ φαρμάκῳ. καλῶς προσέθηκεν Ἀνδρόμαχος περὶ τούτου τοῦ φαρμάκου τὸ πρὸς τὰς αἵματος ἀναγωγὰς ἀνεπιτήδειον ὑπάρχειν αὐτὸ διά τε τὸ θεῖον ἄπυρον καὶ τὸ εὐφόρβιον. μέρος δέ τι καὶ διὰ τὰς δαφνίδας.

13.72 Καταπότιον βηχικὸν εὐθὺς ὠφελοῦν. ⁋ Ἴρεως τριώβολον, κρόκου Κιλικίου ὀβολὸν α . σμύρνης ὀβολοὺς β . κινναμώμου τετρώβολον, κασσίας τετρώβολον, ὑοσκυάμου λευκοῦ σπέρματος ὀβολοὺς β . μήκωνος μέλανος τοῦ σπέρματος ὀβολοὺς β . κωνείου σπέρματος ὀβολοὺς β . θρίδακος μελαίνης σπέρματος ὀβολοὺς β . ἀναλάμβανε τροχίσκους μετὰ γλυκέος ἀνὰ ὀβολὸν ἢ ἡμιώβολον καὶ δίδου ἐν κοτύλης γλυκέος τετάρτῳ.

Πρὸς πᾶσαν βῆχα καὶ ῥευματισμὸν καὶ τὰ ἐντὸς ἀποστήματα, ὡς Ἀπολλώνιος. ⁋ Σαγαπηνοῦ, γεντιανῆς, σμύρνης, ὀποπάνακος, πεπέρεως λευκοῦ ἀνὰ ‹ β′. δαφνίδων καθαρῶν ‹ δ′. λεῖα ἀναλάμβανε ὕδατι, ἡλίκα κύαμος Ἑλληνικὸς, δίδου ὀλίγῳ πλέον ἰσχιαδικοῖς, ἐν οἴνου κεκραμένου κυάθοις τρισίν.

Ἄλλο πρὸς φθισικοὺς, ᾧ παρηκολούθησα παρὰ Φλαβιανοῦ Κρητός. ⁋ Ὑποκυστίδος χυλοῦ ‹ η′. σμύρνης ‹ η′. καστορίου ‹ οτ′. λιβάνου ‹ η′. ῥοῦ χυλοῦ ‹ θ′. σαγαπηνοῦ ‹ στ′. ὀποῦ μήκωνος ‹ η′. ἀνίσου ‹ θ′. σελίνου
13.73 σπέρματος ‹ η′. ὀποῦ πάνακος ‹ ε′. σπέρματος ὑοσκυάμου ‹ η′. στύρακος ‹ η′. κρόκου ‹ ι′. ὀποῦ Κυρηναϊκοῦ ‹ α′. σπέρματος δαύκου ‹ η′. πρασίου ‹ α′. μανδραγόρου φλοιοῦ ‹ ι′. πεπέρεως μακροῦ ‹ η′. καὶ λευκοῦ ‹ ε′ ′′. περιστερεῶνος ὑπτίου ‹ α′. μέλιτι ἐφθόν.

Καταπότιον λευκὸν, ὡς Πρύτανις καὶ Ἀπόλλων. ℩ Σμύρνης, ὑοσκυάμου σπέρματος λευκοῦ, ὀπίου, στύρακος, ἴσον ἑκάστου ἀνάπλασσε ἡλίκα ἂν καταπίνειν δύνωνταί τινες, ἀναλάμβανε ἢ σταφίδι ἢ γλυκεῖ ἢ φοίνικι.

Καταπότιον βηχικὸν, ἐκ τῶν Περιγένους. ℩ Ὑοσκυάμου σπέρματος, καστορίου, σμύρνης, στύρακος, ὀπίου, ἑκάστου ἴσον ἡλίκον ἐρεγμὸν, δίδου σὺν γλυκεῖ ἢ μελικράτῳ.

Καταπότια πρὸς ὑγρὰν βῆχα, ἐκ τῶν Περιγένους. ℩ Στύρακος, χαλβάνης, ἀμμωνιακοῦ θυμιάματος, καστορίου, ὀπίου, ἴσον ἑκάστου, ἀνάπλασσε ὀροβιαῖα, δίδου δύο.

Περὶ αἵματος ἀναγωγῆς. Τῆς ἀναγωγῆς τοῦ αἵματος ὁ πρῶτος μὲν
13.74 κίνδυνός ἐστι κατ᾽ αὐτὴν τὴν ἄμετρον κένωσιν, ἡ δὲ μετὰ τὴν ἐποχὴν αὐτοῦ θεραπεία, τῆς μὲν κατὰ ἀναστόμωσιν ἀγγείου γενομένης ἐκ τοῦ κλεισθῆναι τὸ ἀνευρυσμένον. τῆς δὲ κατὰ ῥῆξιν ἐκ τοῦ κολληθῆναι, καθάπερ γε καὶ τῆς κατὰ διάβρωσιν ἐξ ἀναθρέψεως τῶν διαβρωθέντων. σφίγγεται μὲν οὖν τὸ ἀνεστομωμένον ὑπὸ τῶν στυφόντων, κολλᾶται δὲ τὸ ἐρρωγὸς ὑπό τε τούτων αὐτῶν, ὅσα τε μιγνυμένων αὐτοῖς συντίθεται τῶν ξηραινόντων χωρὶς δήξεως καὶ τῶν κολλῶδες ἐχόντων τι, καθάπερ ἥ τε Λημνία σφραγὶς καὶ Σάμιος ἀστὴρ, ἀνατρέφεται δὲ τὰ διαβρωθέντα ὑπὸ τῶν εὐχύλων τροφῶν καὶ τῶν σαρκωτικῶν ὀνομαζομένων φαρμάκων, ὧν ἡ δύναμις εἴρηται κατὰ τὸ δεύτερον γράμμα τῆς πραγματείας τῆσδε. κατὰ πρῶτον μὲν οὖν λόγον ἐκ τοιούτων συντίθεται τὰ πρὸς τὴν θεραπείαν τῆς ἀναγωγῆς τοῦ αἵματος ἁρμόζοντα φάρμακα, κατὰ δεύτερον δὲ ἐπὶ τῶν ἐκ πνεύμονος ἢ θώρακος ἢ ἀρτηρίας ἢ λάρυγγος ἀναγομένων, ἐπιμιγνυμένων τοῖς εἰρημένοις ἐν τῇ συμμετρίᾳ
13.75 τῶν θερμῶν τε καὶ λεπτομερῶν, ἅπερ ἐναντιώτατα ταῖς εἰρημέναις τρισὶ διαθέσεσίν ἐστιν, ἀναστομώσει, ῥήξει, διαβρώσει. τίνος οὖν ἕνεκα μίγνυται; τῆς ἀναδόσεως αὐτῶν δηλονότι. τὰ γὰρ στύφοντα καὶ γλίσχρα τὰς ἑαυτῶν ὁδοὺς ἀποκλείοντα δεῖται δυνάμεως τῆς παρασκευαζούσης αὐτοῖς τὰς ὁδούς. ὅταν δ᾽ ἢ ἐκ τῶν κατὰ τὸν στόμαχον ἢ τὴν κοιλίαν τόπων ἥ. τινος τῶν ἐντέρων ἡ ἀναγωγὴ γίνηται τῆς τῶν τοιούτων μίξεως φαρμάκων οὐ γίνεται χρεία. τούτοις δ᾽ οὖν πάλιν ἐναντιώτατόν ἐστι γένος φαρμάκων τῶν εἰς τοσοῦτον ψυχόντων, ὡς ναρκοῦν τὴν

διάθεσιν καὶ αὐτὰ δὲ μίγνυται τοῖς πρὸς αἱμοπτυϊκοὺς ἁρμόττουσιν, ὕπνον τε καρώδη φέροντα χρησιμώτατα γενόμενα τοῖς ὑπὸ βηχὸς σπαραττομένοις, ἱστάντα τῇ ψύξει τὸ φερόμενον ἐπὶ τὸ πεπονθὸς ἀγγεῖον αἷμα. οὗτοι μὲν οἱ σκοποὶ τῆς συνθέσεως, ἡ δὲ εὐπορία τῆς ὕλης τῶν ἤδη πεῖραν ἱκανὴν δεδωκότων φαρμάκων τοῖς ἔμπροσθεν ἡμῶν περὶ τὸ φαρμακευτικὸν μέρος τῆς τέχνης σπουδάσασιν ἐφεξῆς εἰρήσεται.

13.76 Τὰ ὑπ᾽ Ἀνδρομάχου γεγραμμένα φάρμακα πρὸς αἵματος ἀναγωγήν. Πρῶτον ἐν αὐτοῖς ἔγραψε φάρμακον ὡδί πως. πρὸς αἵματος ἀναγωγὴν, ὡς ἐγὼ κέχρημαι. ⳨ ἀκακίας ⩽ δ′. ῥόδων ξηρῶν ⩽ η′. βαλαυστίου ⩽ η′. κόμμεως ⩽ β′. τραγακάνθης ⩽ α′. μεθ᾽ ὕδατος τροχίσκους ποίει ἀνὰ ⩽ α′. δίδου ἐν ὀμβρίῳ ὕδατι. ἄλλο Ἀπολλωνίου. ⳨ ὑοσκυάμου σπέρματος ⩽ η′. ὀπίου ⩽ δ′. λιβάνου ⩽ η′. γῆς Σαμίας ⩽ δ′. ἀμύλου ⩽ β′. μίλτου Λημνίας ⩽ β′. εἰ δὲ μὴ, Σινωπικῆς ⩽ γ′. κοραλλίου ⩽ δ′. κόστου ⩽ δ′. βαλαυστίου ἄνθους τριώβολον. οἱ δὲ ⩽ β′. πολυγόνου χυλῷ ἀναλάμβανε τροχίσκους τριωβολιαίους, δίδου μετὰ ψυχροῦ ὕδατος. τινὲς καὶ κωνείου σπέρματος ⩽ β′. προσβάλλουσιν. ἄλλο ᾧ χρῶμαι. ⳨ κυτίνων ⩽ στ′. ἀκάνθης Αἰγυπτίας ⩽ στ′. ὀποῦ μήκωνος ⩽ δ′. ὑποκυστίδος ⩽ στ′. βαλαυστίου ⩽ στ′. ἀκακίας ⩽ στ′. λυκίου Ἰνδικοῦ ⩽ δ′. σμύρνης ⩽ β′. ἀναλάμβανε μύρτων ἀφεψήματι ἀνὰ ⩽ α′. πότιζε τῷ αὐτῷ ἀφεψήματι ἄλλη αἱμόστασις. ⳨ κρόκου Κιλικίου, σμύρνης, ἴρεως, νάρδου Ἰνδικῆς, λιβάνου, ἀκακίας ἀνὰ
13.77 γο α′. ὀποῦ μήκωνος, κόστου, πεπέρεως ἀνὰ γο . ῥόδων ξηρῶν γο δ . μέλιτος Ἀττικοῦ τὸ ἱκανὸν, ἡ δόσις κυάμου Αἰγυπτίου τὸ μέγεθος.

Ἄλλη ἀρρευμάτιστος πρὸς τὰ ἐντὸς ῥεύματα καὶ παρισθμίων καὶ σταφυλῆς καὶ ἀρτηρίαν ἠλκωμένην ἀναγαργαριζομένη καὶ αἵματος ῥύσιν ἐν ὕδατι ψυχρῷ, τοῖς δὲ πλείοσι σὺν ὀξυκράτῳ καρύου Ποντικοῦ μέγεθος. ἁρμόζει δὲ πρὸς τοὺς αἷμα οὐροῦντας καὶ γυναικείους ῥοῦς καὶ πινομένη καὶ προστιθεμένη. Σμύρνης γο α . νάρδου Ἰνδικῆς γο α . κινναμώμου γο α . λιβάνου γο α . κρόκου γο . πεπέρεως δ . ἀκακίας χυλοῦ δ . κόστου δ . στύρακος δ . ἴρεως Ἰλλυρικῆς γο β . ῥόδων ξηρῶν γο β . μέλιτι ἑφθῷ ἀναλάμβανε. ἄλλη ἀρρευμάτιστος ἐκ τῶν Γάλλου, ποιοῦσα πρὸς αἵματος ἀναγωγὴν καλή. κρόκου, σμύρνης, ἴρεως, νάρδου Συριακῆς, κασσίας μελαίνης, ῥοῦ Ποντικοῦ ἀνὰ

α . στύρακος, πεπέρεως λευκοῦ ἀνὰ γο . ῥόδων ξηρῶν γο ε . λείοις παράχει μέλιτος Ἀττικοῦ τὸ ἱκανὸν, δίδου καρύου Ποντικοῦ τὸ μέγεθος μετὰ κυ. γ .

13.78 Ἄλλη πρὸς αἱμοπτυϊκοὺς, ἐκ τῶν Ἀπολλωνίου. ⳨ Ὑποκυστίδος χυλοῦ ʿ ιβ΄. βαλαυστίου, ἀκακίας, κυτίνων ἀνὰ ʿ ιβ΄. κηκίδος ʿ ιβ΄. ὀποῦ μήκωνος ʿ στ΄. κρόκου ʿ στ΄. ἀνάπλαττε τροχίσκους τριωβολιαίους.

Ἄλλη πρὸς αἱμοπτυϊκούς. ⳨ Ὀποῦ μήκωνος ὀβολὸν α ′. κόμμεως ὀβολοὺς β ′. ἀμύλου τριώβολον ἐν ὕδατι δίδου.

Ἄλλη πρὸς αἵματος ἀναγωγὴν καὶ πᾶσαν αἱμορραγίαν δι᾽ ὕδατος πινομένη. ⳨ Ὀποῦ μήκωνος ʿ α΄. κινναμώμου ʿ α΄. καστορίου ʿ α΄. κόστου, πεπέρεως μακροῦ καὶ στρογγύλου, σμύρνης ἀνὰ τριώβολον, κρόκου ὀβολὸν καὶ ἡμιώβολον, κοραλλίου ὀβολοὺς β΄. βαλαυστίου δραχμὰς β΄. ἀνίσου ʿ α΄. κόμμεως ʿ α΄. λεάνας ἀνάπλασσε τροχίσκους καὶ χρῶ. ἄλλο πρὸς αἵματος ἀναγωγήν. ⳨ μίλτου Σινωπικῆς δραχμὰς δ΄. λιβάνου δραχμὰς η΄. ἀνίσου ʿ α΄. κωνείου σπέρματος δραχμὰς δ΄. ὀποῦ μήκωνος ʿ δ΄. λίθου αἱματίτου δραχμὰς δ΄. ὑοσκυάμου σπέρματος δραχμὰς η΄. γῆς Σαμίας δραχμὰς γ΄. δι᾽ ὕδατος νήστει δίδου τὸ φάρμακον.

13.79 ἄλλο. ⳨ ὑποκυστίδος χυλοῦ ʿ α΄. ὀπίου τριώβολον, βαλαυστίου ʿ α΄. ἀκακίας ʿ α΄. σὺν ὕδατι. ἄλλη πρὸς αἵματος ἀναγωγὴν, ὡς Ἡρόφιλος. ⳨ συμφύτου ῥίζης γο γ΄. γῆς ἀστέρος γο α΄. λιβάνου γο β΄. βαλαυστίου γο α΄. ὑποκυστίδος χυλοῦ γο α΄. κρόκου τριώβολον, σμύρνης δραχμὰς β΄. ὀπίου ʿ α΄. μίλτου Λημνίας γο γ΄. καὶ τριώβολον, κόμμεως ʿ α΄. χυλῷ πολυγόνου ἢ ἀρνογλώσσου ἀναλάμβανε. ἄλλο πρὸς αἱμοπτυϊκοὺς, ἀπ᾽ ἀγαθοῦ καθηγητοῦ. ⳨ βαλαυστίου δραχμὰς β΄. ἀκακίας δραχμὰς β΄. τραγακάνθης ʿ δ΄. ὑποκυστίδος χυλοῦ ʿ δ΄. ῥόδων ἄνθους δραχμὰς δ΄. ὀπίου ʿ β΄. λιβάνου δραχμὰς γ΄. σμύρνης ʿ β΄. ὑοσκυάμου σπέρματος τετρώβολον, ἀναλάμβανε πολυγόνου χυλῷ. ἄλλο πρὸς αἵματος ἀναγωγὴν, ὡς Ἀκάκιος. ⳨ γῆς Σαμίας δραχμὰς δ΄. κοραλλίου ʿ δ΄. μίλτου Σινωπικῆς ʿ β΄. βαλαυστίου τριώβολον, ὀπίου ʿ δ΄. ἀμύλου δραχμὰς ιβ΄. λιβάνου ʿ η΄. ὑοσκυάμου σπέρματος ʿ η΄. πολυγόνου χυλῷ ἀναλάμβανε τροχίσκους τριωβολιαίους, δίδου ἐν ὀξυκράτῳ, ἐὰν ῥεῦμα εἴη πολὺ, σὺν λεκίθῳ ὠῶν ὀπτῶν καὶ ἀρνογλώσσου χυλῷ. ἄλλο πρὸς αἱμοπτυϊκοὺς καὶ

13.80 δυσεντερικούς. ⁋ ῥόδων ἄνθους, ὀπίου, ἀκακίας, κόμμεως, βαλαυστίου, ὑποκυστίδος ἀνὰ γο γ′. κηκίδος γο β′. ἀρνογλώσσου σπέρματος καὶ χυλοῦ ἀνὰ γο β′. λυκίου Ἰνδικοῦ γο α′. ῥόδων χυλοῦ γο α′. ἀναλάμβανε τροχίσκους ἀνὰ ‹ α′. τινὲς καὶ ὀμφακίου γο ′′. καὶ ἐνίεται δυσεντερικοῖς. ἄλλο πρὸς αἱμοπτυϊκοὺς Καρτεροῦ εὐτονώτατον. ⁋ κωνείου σπέρματος ‹ β′. ὑοσκυάμου σπέρματος ‹ α′. ἀμύλου ‹ α′. νάρδου τριώβολον, μίλτου Λημνίας ὀβολοὺς γ′. οἱ δὲ τετρώβολον, ἀνίσου τετρώβολον, οἱ δὲ τριώβολον, κρόκου ὀβολοὺς γ′. δίδου μετὰ λεκίθου ὀπτῆς, μεθ᾽ ὕδατος γαλακτώδους κυάθων γ′. ποιεῖ καὶ πρὸς κατάρρους.

Ἄλλο πρὸς αἱμοπτυϊκοὺς, Μάγνου Φιλαδελφέως. ⁋ Κοραλλίου ὀβολοὺς β′. ἀστέρος Σαμίου τετρώβολον, πολυγόνου χυλοῦ κυάθους στ′. δίδου τὸ ὅλον πόσεις δύο.

Ἡ χρῆσις τῶν προειρημένων Ἀνδρομάχου φαρμάκων. Ἤδη μὲν ἦν δῆλον, ἐξ ὧν ἔγραψα κατὰ τὴν ἀρχὴν τοῦ περὶ τῶν αἱμοπτυϊκῶν λόγου, περὶ τῆς χρήσεως τῶν προγεγραμμένων φαρμάκων, ἕνεκα δὲ σαφηνείας
13.81 ἐπαναλήψομαι καὶ νῦν τὸ πρῶτον ἁπάντων γεγραμμένον, ἐξ ἀκακίας καὶ ῥόδων ξηρῶν καὶ βαλαυστίου καὶ κόμμεως καὶ τραγακάνθης συγκείμενον. εὔδηλον δ᾽ ὅτι τὴν μὲν ἀκακίαν καὶ τὰ ῥόδα καὶ τὸ βαλαύστιον ἔχει στῦφόν τι γλίσχρον τε καὶ κολλητικὸν, τό τε κόμμι καὶ τὴν τραγάκανθαν. οὐκοῦν οὐχ οἷόν τε αὐτὸ μέχρι θώρακός τε καὶ πνεύμονος ἀνενεχθῆναι ἰδίως, οὐδὲν ἔχοντι τῶν ποδηγησάντων τὰ στύφοντα καὶ γλίσχρα. πρὸς τούτοις γὰρ ἔτι καὶ μέλιτος οὐδὲν ὅλως αὐτῷ προσέθηκεν ὁ συνθεὶς, ἀλλὰ δι᾽ ὕδατος ὀμβρίου, στυπτικήν τινα καὶ αὐτοῦ δύναμιν ἔχοντος. ἥ τε σύνθεσις αὐτοῦ καὶ ἡ δόσις, ὥστε πρὸς τὰς ἐκ στομάχου καὶ γαστρὸς ἀναγωγὰς τοῦ αἵματος ἁρμόσαι. εἰ δὲ δυνατόν ἐστι καὶ ἐκ νήστεως ἀνενεχθῆναί τι διὰ ναυτίας, καὶ πρὸς τοῦτο γενήσεται χρήσιμον. ἔμπαλιν δὲ τῷ προγεγραμμένῳ φαρμάκῳ τὸ πέμπτον τῇ τάξει γεγραμμένον καὶ τὸ ἔνατον ἔχει σύνθεσιν, ἐπιμεμιγμένου αὐτοῖς κινναμώμου καὶ πεπέρεως καὶ κόστου καὶ
13.82 σμύρνης. τὰ δὲ ἄλλα πάντα μέσα πως τούτων ἐστὶ, μήτ᾽ ἀκριβῶς στύφοντα κατὰ τὴν ὅλην σύνθεσιν, οὔτ᾽ ἰσχυρῶς τοῖς θερμαίνουσι κεχρημένα. τὸ δὲ ὄπιον καὶ ὑοσκύαμον καὶ τὸ τοῦ κωνείου σπέρμα

μάλιστα μὲν ἐν τοῖς ὑπὸ βηχὸς σπαραττομένοις ἢ διὰ κατάρρουν ἢ ἄλλως ἐστὶν ἐπιτήδεια καὶ πᾶσι δὲ τοῖς ὀπωσοῦν αἱμοπτυϊκοῖς· ὥστ' ἔξεστιν αὐτὰ μιγνύναι καὶ τοῖς ἐκ τῶν θρεπτικῶν ὀργάνων ἀνάγουσι τὸ αἷμα καὶ τοῖς ἐκ τῶν πνευματικῶν.

Τὰ ὑπ' Ἀσκληπιάδου γεγραμμένα πρὸς αἱμοπτυϊκοὺς, αὐτοῖς ὀνόμασιν. Πρὸς αἵματος ἀναγωγήν. ⁊ συμφύτου ῥίζης γο στ′. βαλαυστίου ὁλκὰς δύο ἢ ϛ α′. ὕδατος ξε. α′. ἕψε εἰς τὸ τρίτον, καὶ τὸ ὑγρὸν ἐκθλίψας ἐπίβαλλε τούτῳ ἀμύλου ὁλκὴν ἢ ϛ α′. κόμμεως Θηβαϊκοῦ τὸ ἴσον καὶ δίδου πίνειν. ἄλλο. ⁊ σικύων ἡμέρων λίτραν α′. εἰς λεπτὰ κατατέμνων καὶ ὕδατος ποτίμου ἐπιβάλλων ξε. α′. ἕψε εἰς τὸ γ′. καὶ τὸ ὑγρὸν ἐκθλίψας τούτῳ κατάπασσε γῆς Σαμίας ϛ α′ ′′. καὶ δίδου πίνειν.

13.83 Χαριξένους φάρμακον ἐπιτετευγμένον. ⁊ Πολυγόνου ῥίζης χειροπληθὲς, συμφύτου ῥίζης τὸ ἴσον, ῥοῦ ἐρυθροῦ ὀξύβαφον, ὕδατος ξε. γ′. ἕψε εἰς τὸ γ′. καὶ τὸ ὑγρὸν ἐκθλίψας δίδου κύαθον καὶ κόμμεως λειοτάτου ϛ α′.

Ἀρραβιανοῦ τὸ λεγόμενον Ποντικόν. ⁊ Ἄρκου σταφυλῆς λίτρας ιστ′. ὕδατος ὀμβρίου ξε. ιστ′. ἕψε εἰς τὸ τρίτον καὶ τὸ ὑγρὸν ἐκθλίψας ἀπόθου. ἄλλο. ⁊ μόρων ἐρυθρῶν μηδέπω πεπείρων λίτρας ιστ′. ὕδατος ὀμβρίου ξε. ιστ′. ἕψε εἰς τὸ τρίτον καὶ τὸ ὑγρὸν ἐκθλίψας ἀπόθου. ἄλλο. ⁊ κράνου καρποῦ λίτρας ιστ′. ὕδατος ὀμβρίου ξε. ιστ′. ποίει ὡσαύτως. ἄλλο. ⁊ φοινικοβαλάνων Θηβαϊκῶν λίτρας ιστ′. ὕδατος ὀμβρίου ξε. ιστ′. ἕψε εἰς τὸ τρίτον καὶ τὸ ὑγρὸν ἐκθλίψας ἐπίβαλλε τοῖς ἀποτεθλιμμένοις, καὶ πάντα μίξας ἕψε εἰς τὸ τρίτον καὶ εἰς ἄγγος κεραμεοῦν βαλὼν ἀπόθου. ἐκ τούτου δίδου κύαθον ἕνα πρὸ τροφῆς, τὸ φάρμακόν ἐστι σφόδρα καλὸν καὶ παλιγγενεσίας κωλυτικόν. δεῖ μέντοι ἕκαστον ἰδίῳ σκευάζειν καιρῷ καὶ πρὸς τὴν τοῦ φαρμάκου σκευασίαν ἀποτίθεσθαι. περὶ ἄρκου
13.84 στυφυλῆς. ἡ δὲ λεγομένη ἄρκου σταφυλὴ ἐν Πόντῳ γίνεται, φυτόν ἐστι χθαμαλὸν καὶ θαμνῶδες. φύλλα δὲ ἔχει ὅμοια μεμαικύλῳ, καρπὸν φέρει ἐρυθρὸν καὶ στρογγύλον, αὐστηρὸν τῇ γεύσει, τοῦτον καλοῦσιν ἄρκου σταφυλήν.

Καταπότιον αἱμοπτυϊκοῖς. ⁊ Φλοιοῦ λιβάνου, γῆς Σαμίας, ἀμύλου ἀνὰ ϛ δ′. κόψας καὶ σήσας ἀπόθου. ἐν δὲ τῇ χρήσει δίδου κοχλιάριον ἓν καὶ

ὕδατος ψυχροῦ κύαθον α′. ἄλλο. ⳋ βαλαυστίου, γῆς Σαμίας, φλοιοῦ λιβάνου, κόμμεως, ἑκάστου τὸ ἴσον, κόψας καὶ σήσας δίδου καθὰ προείρηται.

Πρὸς αἵματος ἀναγωγὴν Ἀμαράντου, ἐκλεικτὸν φάρμακον ἐπιτετευγμένον. ⳋ Οἴνου Φαλερίνου ξε. α′. μέλιτος Ἀττικοῦ λίτραν α′. βαλὼν εἰς ἄγγος κεραμεοῦν καὶ ἀνακόψας καὶ θεὶς ἐπ᾽ ἀνθράκων ἕψε καὶ ὅταν σχῇ ἀρτηριακῆς τὸ πάχος, ἄρας ἀπὸ τοῦ πυρὸς ἔα ψυγῆναι καὶ τούτῳ κεκομμένα καὶ σεσησμένα ἐπίβαλλε κόμμεως κοχλιάρια δ′. βαλαυστίου, λιβάνου, γῆς Σαμίας ἀνὰ ⸂ β′. καὶ πάλιν ἐπιθεὶς εἰς τὸ πῦρ
13.85 καὶ θερμάνας ἀπόθου καὶ δίδου ὁμοίως καθὰ προείρηται. ἄλλη, Ὠριγενείας. ⳋ γεντιανῆς χυλοῦ, συμφύτου χυλοῦ, βαλαυστίου, ἑκάστου ἀνὰ ⸂ η′. κρόκου, σμύρνης, γλυκυρρίζης χυλοῦ ἀνὰ ⸂ δ′. προτρόπου ἢ Θηραίου ἢ Σκυβελίτου ξε. στ′. σκεύαζε καὶ δίδου καθὰ προείρηται.

Καταπότια πρὸς αἵματος ἀναγωγὴν ἀνώδυνα, οἷς ἐχρήσατο Χαριξένης. ⳋ Ὑποκυστίδος χυλοῦ, βαλαυστίου, ὀπίου ἀνὰ ⸂ δ′. ἀναλάμβανε οἴνῳ μυρτίτῃ καὶ ποίει καταπότια καὶ δίδου τὸ πλῆθος τριώβολον. ἐν ἄλλαις γραφαῖς ἔχει ὀπίου ⸂ β′. ἄλλο. ⳋ ὑποκυστίδος χυλοῦ, ἀκακίας χυλοῦ, ῥοὸς Συριακοῦ χυλοῦ ἀνὰ ⸂ δ′. βαλαυστίου, ὀπίου, κόμμεως ἀνὰ ⸂ δ′. οἴνου μυρτίτου τὸ αὔταρκες. ἡ χρῆσις δεδήλωται.

Τροχίσκος αἱμοπτυϊκὸς, φάρμακον ἐπιτετευγμένον, ἐπιγράφεται τὸ τρυφερόν. ⳋ Ἀμύλου, βαλαυστίου, γῆς Σαμίας, ὑποκυστίδος χυλοῦ, κόμμεως, κρόκου, ὀπίου ἀνὰ δραχμὰς δ′. χυλῷ ἀρνογλώσσου δίδου ἀνὰ ⸂ α′. τὸ ὑγρὸν κατάλληλόν ἐστι τῇ διαθέσει. ἄλλο. ⳋ ἀμύλου ⸂ δ′. γῆς
13.86 Σαμίας, ὑποκυστίδος ἀνὰ ⸂ β′. ὀπίου, κρόκου, βαλαυστίου, τραγακάνθης ἀνὰ ⸂ α′. χυλοῦ ἀρνογλώσσου.

Τροχίσκος ὁ δι᾽ ἠλέκτρου. ποιεῖ αἱμοπτυϊκοῖς, βήττουσι χρονίως καὶ προσφάτως, φθισικοῖς, ἀναφορικοῖς, ἐμπυϊκοῖς, κοιλιακοῖς, δυσεντερικοῖς, ἐμπνευματουμένοις. ἔστι δὲ καὶ ὠτικὴ ἀγαθή. ⳋ Ψυλλίου καθαροῦ ⸂ με′. ἴρεως Ἰλλυρικῆς, μαστίχης, ἠλέκτρου ῥινήματος, κρόκου ἀνὰ ⸂ λ′. ὀπίου ⸂ ιε′. τὸ ψύλλιον βαλὼν εἰς θερμὸν ὕδωρ ἔα βρέχεσθαι καὶ ὅταν γλίσχρον καὶ κολλῶδες γένηται τὸ ὕδωρ, ἔκθλιβε τὸ ὑγρόν· ἐκ

τούτου σκευάσας τὸ φάρμακον ἀνάπλαττε τροχίσκους καὶ δίδου τριώβολον εἰς ὕπνον ἀπερχομένοις. ἔστω δὲ τοῦ ὕδατος ξε. γ′. ἐν ἄλλαις γραφαῖς ἐμβρέχεται τὸ ψύλλιον ἐπὶ ἡμέρας γ′. εἶθ’ ἕψεται ἕως ἀναβράσῃ τρὶς, εἶτα αἴρεται ἀπὸ τοῦ πυρὸς καὶ πάλιν ἐᾶται ἐπὶ τρεῖς ἡμέρας, καὶ τότε τὸ ὑγρὸν χωρίζεται πρὸς τὴν τοῦ φαρμάκου σκευασίαν.

13.87 Ὁ τοῦ Νεαπολίτου τροχίσκος, ποιεῖ αἱμοπτυϊκοῖς, ἐμπυϊκοῖς, φθισικοῖς, ῥευματικαῖς διαθέσεσιν. ⁋ Ὑοσκυάμου λευκοῦ σπέρματος, μανδραγόρου χυλοῦ ἀνὰ ∢ ε′. λιβάνου ἄρρενος, ὀπίου Σπανοῦ, στύρακος, πυτίας νεβροῦ ἀνὰ ∢ ι′. μαστίχης ∢ κ′. ἠλέκτρου ῥινήματος, ἴρεως Ἰλλυρικῆς, κρόκου ἀνὰ ∢ λ′. ψυλλίου ∢ με′. ὕδατος ξε. γ′. σκεύαζε καὶ χρῶ καθὰ προείρηται. ὁ διὰ τοῦ κοραλλίου, ὡς Νικήρατος. ⁋ κοραλλίου, γῆς Σαμίας ἀνὰ ∢ η′. βαλαυστίου, ἀμύλου, Λημνίας ἀνὰ ∢ δ′. ὑοσκυάμου λευκοῦ σπέρματος, ὀπίου, ὑποκυστίδος ἀνὰ ∢ β′. ἀναλάμβανε χυλῷ ἀρνογλώσσου καὶ ἀνάπλαττε τροχίσκους καὶ δίδου.

Διοκλέους Χαλκηδονίου. ⁋ Κοραλλίου ∢ η′. ὑποκυστίδος χυλοῦ, βαλαυστίου, ἀκακίας χυλοῦ, ῥοῦ Ποντικοῦ, γῆς Σαμίας, ὀπίου, λιβάνου, συμφύτου χυλοῦ, ἑκάστου ἀνὰ δραχμὰς β′. χυλοῦ ἀρνογλώσσου.

Τὸ Ἀφροδισιακὸν κλείδιον, φάρμακον ἐπιτετευγμένον, ποιεῖ αἱμοπτυϊκοῖς, κοιλιακοῖς, δυσεντερικοῖς καὶ τοῖς τὸν στόμαχον ῥευματιζομένοις. ⁋ Κυτίνων, ἀκάνθης Αἰγυπτίας, βαλαυστίων,
13.88 ὑποκυστίδος χυλοῦ, ἀκακίας χυλοῦ ἀνὰ ∢ στ′. λυκίου, ῥᾶ Ποντικοῦ, ὀπίου ἀνὰ ∢ δ′. σμύρνης ∢ β′. κόψας καὶ σήσας ἐπιμελῶς, ἀναλάμβανε μύρτων ἀφεψήματι καὶ ἀνάπλασσε τροχίσκους καὶ δίδου πρὸς δύναμιν μετὰ ἀφεψήματος ῥόδων ἢ μύρτων ἢ ὕδατος ψυχροῦ, σπόγγοις ἔξωθεν χρώμενος ὀξυκράτῳ δεδευμένοις. ὅταν δὲ ἐπιστῇ τὸ ῥεῦμα, ἐπίχριε τὸ στῆθος ἢ τοὺς ῥευματισθέντας τόπους, ὀμφακίῳ ὄξει διαλελυμένῳ, χλιανθέντι ἐπιποσὸν ἐπὶ θερμοσποδίας ἄχρι συστάσεως.

Φιλίππου φάρμακον ἐπιτετευγμένον, δυσεντερικοῖς καὶ αἱμοπτυϊκοῖς. ⁋ Βαλαυστίου, ἀκακίας, ὑποκυστίδος χυλοῦ, ὀπίου, ῥοῦ, λιβάνου, σμύρνης, κρόκου, κηκίδος, λυκίου, ἀλόης, ῥᾶ Ποντικοῦ, μύρτων μελάνων, σιδίων

ἀνὰ ᾱ. ἀναλάμβανε οἴνῳ Ἰταλικῷ καὶ ποίει τροχίσκους τριωβολιαίους, δίδου ἀπυρέτοις μετ᾽ οἴνου, πυρέττουσι μεθ᾽ ὕδατος.

Ἀνώδυνοι τοῖς φθινώδεσιν ἁρμόττουσαι καὶ τοῖς ἀνάγουσιν αἷμα καὶ ἄλλοις τισὶν ἄνευ τῶν κωλικῶν. Ἐπὶ μὲν τῶν αἷμα ἀναγόντων, μηδέπω
13.89 δὲ ἀκριβῶς ἐχομένων φθόῃ τὸ γένος τοῦτο τῶν ἀνωδύνων φαρμάκων, οἱ πρὸ ἡμῶν συνέθεσαν ἁρμόττον καὶ τοῖς ἀνάγουσιν αἷμα καὶ τοῖς ἅμα τε τοῦτο πάσχουσι καὶ ἤδη φθινώδεσι καὶ πρὸς ἄλλας ὀδύνας τε καὶ διαθέσεις, ὅσαι κατά τε πνεύμονας καὶ ἀρτηρίαν καὶ θώρακα καὶ ἄλλα τινὰ μόρια συνίστανται ἄνευ τῶν κωλικῶν. διαφέρουσι γὰρ αὗται τῶν ἰδίως κωλικῶν ὀνομαζομένων τῇ μίξει τῶν ἀρωμάτων τε καὶ σπερμάτων εὐωδῶν τε καὶ οὐρητικῶν. αἱ γάρ τοι κωλικῶν δυνάμεις σφοδρότεραι τούτων εἰσὶν, ἐπικρατοῦσαν ἔχουσαι τὴν ναρκωτιτὴν δύναμιν ἐκ τοῦ πλήθους τῶν ψυκτικῶν φαρμάκων, ὁποῖόν ἐστιν ὑοσκυάμου τε σπέρμα καὶ κώνειον καὶ ὁ τῆς μήκωνος ὀπὸς ὅ τε φλοιὸς τῆς ῥίζης τοῦ μανδραγόρου. χρῆσθαι δὲ αὐτοῖς ἐπὶ τῶν κωλικῶν ἀναγκαζόμεθα διὰ τὸ μέγεθος τῆς ὀδύνης.

Αἱ ὑπ᾽ Ἀνδρομάχου γεγραμμέναι πρὸς τὰς εἰρημένας διαθέσεις ἀνώδυνοι. Ἀνώδυνον πρὸς πάντα τὰ ἐντὸς καὶ πλευρίτιδας, ᾗ χρῶμαι. ℞ πάνακος ῥίζης, δαύκου σπέρματος ἀνὰ ᾱ. καστορίου ᾱ. οἱ δὲ β. ὑοσκυάμου
13.90 σπέρματος, ὀπίου ἀνὰ ᾱ. οἱ δὲ β. μέλιτος ἱκανὸν, δίδου τριώβολον, σὺν ὕδατος κυ. γ. ἄλλη ἀνώδυνος Μαρκελλίνου. ℞ ἀνίσου β. ὑοσκυάμου σπέρματος β. μηκωνείου α. σελίνου σπέρματος δραχμὰς β. κρόκου τετρώβολον, ῥόδων ξηρῶν α. σμύρνης α. ἀμώμου α. λεῖα σὺν ὕδατι, ἀνάπλασσε τροχίσκους λβ. δίδου εἰς κοίτην σὺν ὕδατος κυ. β. ἢ γ. ἄλλη ἀνώδυνος ἡ διὰ σπερμάτων. ℞ σελίνου σπέρματος η. ἄμμεως η. ἀνίσου δ. μαράθρου δ. ὀπίου β. κασσίας μελαίνης β. σὺν ὕδατι τροχίσκους ἀνάπλασσε τριωβολιαίους, δίδου μετὰ γλυκέος κοτύλης ἑκκαιδεκάτου ἢ ὕδατος. ἄλλη ἀνώδυνος Ἀχιλλᾶ παρακεντητοῦ. ℞ ἀνίσου η. ἄμμεως η. μαράθρου σπέρματος δ. σελίνου σπέρματος δ. ὀπίου β. νάρδου Ἰνδικῆς β. σμύρνης β. πεπέρεως α. κασσίας μελαίνης β. ἀνάπλασσε τροχίσκους τριωβολιαίους, ἵνα ξηρανθέντα ἄγωσιν ὀβολοὺς β. καὶ δίδου ὡς τοὺς λοιπούς.

Ἄλλη ἀνώδυνος, ὡς Ξενοκράτης, ᾗ χρῶμαι μάλιστα πρὸς στρόφους καὶ
13.91 δυσεντερικούς. ⁋ Σελίνου σπέρματος ⸂ β′. ἀνίσου ⸂ α′. πεπέρεως λευκοῦ ⸂ α′. σμύρνης τετρώβολον, καστορίου τετρώβολον, ὀπίου τριώβολον, κρόκου τριώβολον, γεντιανῆς ⸂ β′. ἀνάπλασσε τροχίσκους τριωβολιαίους καὶ δίδου ποικίλως.

Ἄλλη σφραγὶς ἀνώδυνος, ξηραντικὴ ῥευμάτων καὶ στρόφων καὶ βηχῶν, ᾗ χρῶμαι. ⁋ Σμύρνης ⸂ ε′. οἱ δὲ ⸂ στ′. μανδραγόρου φλοιοῦ ⸂ δ′. ὀποῦ μήκωνος ⸂ ε′. ὑοσκυάμου σπέρματος ⸂ δ′. οἱ δὲ ⸂ β′. λιβάνου ⸂ ε′. κρόκου ⸂ ε′. οἴνῳ ἀναλάμβανε, δίδου πρὸς δύναμιν, τοῖς μὲν κυάμου Αἰγυπτίου τὸ μέγεθος, τοῖς δὲ ὀβολοὺς β′.

Ἄλλη, ὁ ἀστὴρ ἀνώδυνος, ᾗ χρῶμαι πρὸς πᾶν ῥεῦμα, ἀλγήματα καὶ πάντα τὰ ἐντὸς καὶ κατάρρους καὶ κύστιν καὶ πνίγας, ῥοῦν γυναικεῖον, στόμαχον ῥευματιζόμενον, δυσεντερικοὺς, αἷμα ἀνάγοντας καὶ ἀνιεμένους. ⁋ Κρόκου τριώβολον, ὑοσκυάμου σπέρματος ⸂ στ′. σελίνου σπέρματος ⸂ στ′. ἀνίσου ⸂ δ′. στύρακος ⸂ δ′. δαύκου σπέρματος ⸂ δ′. καστορίου ⸂ β′. ὀπίου ⸂ γ′. σμύρνης ⸂ β′. τινὲς καὶ μανδραγόρου χυλοῦ ⸂
13.92 δ′. ὡς δὲ Ξενοκράτης, καὶ πεπέρεως λευκοῦ δραχμὰς στ′. ἐν ὕδατι τροχίσκους τριωβολιαίους, δίδου σὺν ὕδατι.

Ἄλλη ἀνώδυνος Λυκομήδου ἀναξηραντικὴ, πρὸς κατασταγμοὺς ἀρτηρίας καὶ ῥευματισμοὺς ὀφθαλμῶν. ⁋ Ὑοσκυάμου σπέρματος ⸂ β′. σελίνου σπέρματος δραχμὰς β′. ὀπίου ⸂ β′. ἀνίσου ⸂ α′. κρόκου ὀβολοὺς δ′. ῥόδων ξηρῶν δραχμὰς β′. σμύρνης ⸂ α′. οἱ δὲ δραχμὰς β′. σὺν ὕδατι ἀναλάμβανε τροχίσκους τριωβολιαίους, χρῶ ὡς τῇ τριγώνῳ.

Ἄλλη ἀνώδυνος ξηραντική. ποιεῖ δὲ καὶ πρὸς αἱμοπτυϊκοὺς καὶ κοιλιακοὺς, δυσεντερικοὺς καὶ ῥήγματα καὶ σπάσματα. ⁋ Ἀνίσου δραχμὰς δ′. σελίνου σπέρματος δραχμὰς δ′. ὀπίου δραχμὰς δ′. κρόκου ⸂ α′. ὑοσκυάμου σπέρματος ⸂ δ′. στύρακος ⸂ α′. σχοίνου ἄνθους ⸂ α′. βαλαυστίου τετρώβολον, οἱ δὲ δραχμὰς ζ′. ῥόδων φύλλων ⸂ α′. νάρδου Ἰνδικῆς τετρώβολον, ὕδατι ἀνάπλαττε τροχίσκους δυοβολιαίους. δίδου μετ᾽ οἴνου ἢ ὕδατος ἢ προτρόπου. ἄλλο ἀνώδυνον πότιμα, ᾧ χρῶμαι, παρὰ Ῥούφου. ⁋ μανδραγόρου φλοιοῦ δραχμὰς δ′. λιβάνου δραχμὰς ε′.

13.93 πεπέρεως λευκοῦ δραχμὰς β . κρόκου δραχμὰς ε . ὑοσκυάμου σπέρματος δραχμὰς δ . ὀποῦ μήκωνος ε . σμύρνης δραχμὰς ε . νάρδου τριώβολον, κασσίας μελαίνης δραχμὰς δ . λεῖα ποιήσας ἀναλάμβανε γλυκεῖ τροχίσκους ἀνὰ α . καὶ ἀπόθου μὴ νοτίδα λάβῃ, δίδου σὺν ὕδατι θερμῷ κυάθοις δυσὶν, χολεριῶσιν ὕδατι ψυχρῷ. ἄλλη ἀνώδυνος πρὸς πάντα τὰ ἐντὸς, ᾗ χρῶμαι. κασσίας μελαίνης, σμύρνης, ὀπίου, στύρακος, κρόκου ἀνὰ α . τινὲς ἀνὰ δραχμὴν α . καὶ τριώβολον, ἀνάπλαττε τροχίσκους τριωβολιαίους ἢ δυοβολιαίους. δίδου δὲ πυρέσσουσι σὺν ὕδατι, ἀπυρέτοις ἐν οἴνῳ, ἡπατικοῖς ἐν ὑδρομέλιτι καὶ πλευριτικοῖς. ἐνεργεῖ δὲ καὶ πρὸς βῆχα. ἄλλη ἡ τρίγωνος ἀναξηραντικὴ ἀνώδυνος. ὑοσκυάμου σπέρματος δ . σελίνου σπέρματος δ . ἀνίσου β . ὀπίου β . ἀνάπλαττε τροχίσκους σὺν ὕδατι καὶ δίδου σὺν ψυχρῷ πρωΐ καὶ ὀψίας ἕνα καὶ ἕνα. ἄλλη ἀνώδυνος θαυμαστὴ Ἀσκληπιάδου πρὸς πάντα τὰ ἐντός. σεσέλεως, χαμαιπίτυος, βηχίου βοτάνης, πηγάνου ἀγρίου σπέρματος, δαύκου σπέρματος ἀνὰ στ .

13.94 ὑοσκυάμου σπέρματος, ὀπίου ἀνὰ η . καστορίου ‹ κε′. ῥᾶ Ποντικοῦ ‹ ιδ′. μέλιτι ἀναλάμβανε. ἄλλη ὡς Χαρικλῆς. ⁋ τορδύλου ‹ η′. χαμαιπίτυος ‹ η′. ῥᾶ Ποντικοῦ ‹ στ′. καστορίου ‹ ιβ′ ′. βηχίου ‹ η′. πηγάνου ἀγρίου σπέρματος ‹ η′. δαύκου σπέρματος ‹ η′. ὀπίου ‹ δ′. ὑοσκυάμου σπέρματος ‹ δ′. κρόκου ‹ ε′. τινὲς βάλλουσι μέλι Ἀττικόν. ἄλλη ἀνώδυνος, ἰουκούνδα λεγομένη, ποιεῖ καὶ πρὸς φθισικευομένους καὶ ἐμπνευματουμένους. ⁋ Ἰλλυρίδος ‹ λ′. ἠλέκτρου, κρόκου, μαστίχης Χίας ἀνὰ ‹ λ′. ψυλλίου ‹ με′. ἢ λ′. ὀποῦ μήκωνος ‹ ιε′. ὕδατι ὀμβρίῳ ἀνάπλασσε τροχίσκους ἀνὰ ‹ α′. καὶ τριώβολον δίδου, τὸ ψύλλιον ἀπόβρεχε ἡμέραν καὶ νύκτα ὕδατι ὀμβρίῳ, εἶτα ἀφεψήσας ἀπόθλιβε μετὰ τῶν λοιπῶν καὶ οὕτω μίγνυε. ἄλλο ἀνώδυνον πότιμα ἐκ τῶν Ἀφρόδα, πρὸς πάντα πόνον ἐν νεύροις, ὑστέραις, ἰσχιαδικοῖς. ⁋ ὀποῦ μήκωνος ‹ α′. ὀποβαλσάμου ‹ α′. ἢ τοῦ καρποῦ ‹ α′. ὀβολοὺς β′. σμύρνης, ὑοσκυάμου σπέρματος, καστορίου, στύρακος ἀνὰ ‹ α′. γλυκεῖ ἀναλάμβανε, ὀβολὸν α′. καὶ ἡμιόβολον δίδου μεθ’ ὕδατος θερμοῦ κυάθων β′. ἢ τριῶν.

13.95 Ἄλλο ἀνώδυνον καταπότιον, ἐκ τῶν Ἀφρόδα πρὸς πάντα τὰ ἐντὸς καὶ πρὸς τεταρταίους, ἐν τοῖς ἀνὰ μέσον ἀσιτοῦσιν, εἶτα λαμβάνεται. ποιεῖ

καὶ πρὸς τοὺς λιθιῶντας καὶ δυσεντερικοῖς καὶ στομαχικοῖς καὶ τοῖς ἤδη ἀπειρηκόσι καὶ ἀσωμένοις καὶ ὀφθαλμικοῖς λίαν καλόν. ⁋ Ὑοσκυάμου σπέρματος, ἀνίσου, στύρακος ἀνὰ ʃ δ′. κρόκου, ὀπίου ἀνὰ ʃ γ′. καστορίου ʃ β′. ἀνάπλασσε ἐν ὕδατι κυάμου Αἰγυπτίας τὸ μέγεθος, δίδου μεθ' ὕδατος κυάθων δύο. ἄλλη ἀνώδυνος πρὸς πάντα τὰ ἐντός. ⁋ σελίνου σπέρματος ʃ β′. ἀνίσου ʃ β′. πεπέρεως μακροῦ ʃ α′. καὶ μέλανος ʃ α′. καστορίου τετρώβολον, σμύρνης, ὀπίου ἀνὰ τετρώβολον, πάνακος, γεντιανῆς ἀνὰ τετρώβολον, κινναμώμου τριώβολον, γλυκέος χυλοῦ τριώβολον, ἀνάπλασσε τροχίσκους τριωβολιαίους, δυσεντερικοῖς ʃ α′.

Ἄλλη πότιμα πρὸς πάντα τὰ ἐντὸς καὶ αἵματος ἀναγωγὴν, ὅθεν ἂν φέρηται, κἂν ἐκ τραύματος διδόμενον ἔν τισι, ποιεῖ καὶ πρὸς νεφριτικοὺς
13.96 καὶ ἡπατικούς. ταύτην μὴ πρότερον δίδου, ἐὰν μὴ τὸν μισθὸν παραλάβῃς. ⁋ Κινναμώμου, κασσίας ἀνὰ ʃ β′. σμύρνης ʃ α′. πεπέρεως λευκοῦ ʃ α′. καὶ μακροῦ ʃ α′. χαλβάνου ʃ α′. ὀπίου ʃ β′. λεῖα σὺν μέλιτι ὀλίγῳ, ποιεῖ ἃ μὲν ἡλίκα κυάμου, ἃ δὲ ἡλίκα ἀράκου, δίδου πρὸς δύναμιν μεθ' ὕδατος ἢ ὡς δοκεῖ σοι ἐπίκρινε. ἄλλη ἀνώδυνος Κρατεροῦ πρὸς φθισικευομένους καὶ αἷμα ἀνάγοντας. ⁋ σμύρνης ʃ στ′. μανδραγόρου ʃ δ′. ὑοσκυάμου σπέρματος ʃ δ′. ὀπίου ʃ ε′. κρόκου, λιβάνου ἀνὰ ʃ ε′. ῥήου ʃ ε′. κωνείου σπέρματος, στύρακος ἀνὰ ʃ ε′. ἀναλάμβανε οἰνομέλιτι.

Ἄλλη ἀνώδυνος τὸ μυστήριον, ὡς Νικήρατος, πρὸς φθισικοὺς, βηχικοὺς, κοιλιακοὺς, δυσεντερικοὺς, καταρροϊζομένους, παραχρῆμα ὠφελεῖ. ⁋ Κόστου, κρόκου, καστορίου, ἀσάρου, ὑοσκυάμου σπέρματος, ὀπίου, στύρακος ἀνὰ δραχμὴν α′. ἔνιοι ὑοσκυάμου τὸ ἥμισυ, μέλιτι ἀναλαβὼν χρῶ. ἄλλη ἀνώδυνος πρὸς κατάρρουν ἁρμόζουσα. ⁋ ὑοσκυάμου σπέρματος, μήκωνος ὀποῦ, ἀμύλου ἀνὰ ʃ β′. ἀνίσου ʃ α′. ναρδοστάχυος ʃ
13.97 α′. κρόκου ʃ α′. μίλτου Σινωπικοῦ τριώβολον ἢ Λημνίας ʃ α′. ποίει τροχίσκους λ′. δίδου δύο εἰς νύκτα σὺν ὕδατι.

Τὰ ὑπ' Ἀσκληπιάδου γραφέντα περὶ τῶν αὐτῶν διαθέσεων. Ἐκλεικτὸν φάρος καλούμενον. οἴνου ξε. . πρασίου χλωροῦ ἀφεψήματος ξε. α . ταῦτα βαλὼν εἰς ἄγγος ὑελοῦν βρέχεσθαι ἔα νύκτα καὶ ἡμέραν. τῇ δ' ἐπιούσῃ μάλασσε τὸ φάρμακον, ὥσπερ τὸν χόνδρον βρέχομεν, καὶ ὅταν παντελῶς διαλυθῇ, ἔκθλιβε τὸ ὑγρὸν καὶ τούτῳ ἐπιβαλὼν λίπος τι καὶ

θεὶς ἐπὶ πυρὸς ἕψε κινῶν συνεχῶς καὶ ὅταν συστραφῇ, ὥστε μέλιτος ἔχειν τὸ πάχος, ἐκ τούτου δίδοται μύστρον πρὸ τροφῆς καὶ μετὰ τροφὴν τὸ ἴσον. ἄλλο. ⁊ πρασίου τῶν ἁπαλωτάτων φύλλων χειροπληθὲς ὕδατος ὅσον ἐξαρκεῖ. ταῦτα βαλὼν εἰς ἄγγος κεραμεοῦν ἕψε, καὶ ὅταν διαλυθῇ, ἐξελὼν τρῖβε καὶ τῷ ἀφεψήματι διαλύσας πάλιν ἕψε καταπάσσων γύρεως ὀξύβαφον καὶ λίπους ἰοῦ κατειργασμένου ἐπιβαλὼν γο γ′. καὶ ὅταν ἑψόμενα καλῶς ἔχῃ, ὥσπερ τὰ λοιπὰ ῥοφήματα, ἄρας ἀπὸ τοῦ πυρὸς καὶ
13.98 ἁλῶν ὀλίγων καταπάσας, δίδου ῥοφῆσαι, πλεῖον ῥοφούμενον μᾶλλον ὠφελεῖ.

Ἄλλο Νικηράτου. ποιεῖ ἐμπυϊκοῖς, δυσπνοϊκοῖς, βήττουσι χρονίως, γλίσχρον καὶ κολλῶδες ἀνάγουσι καὶ ταῖς μετὰ τόκον καθαιρομέναις, κατάγει γάλα. ποιεῖ καὶ νηπίοις ἀτροφοῦσι διδόμενον ταῖς τροφαῖς. ⁊ Πρασίου χυλοῦ ξε. στ′. καλῶς δὲ δεῖ τοῦτο συνάγειν καὶ νεαρὸν κόπτοντας ἐκθλίβειν, οἴνου Φαλερίνου ξε. α′. μέλιτος Ἀττικοῦ τὸ ἴσον, πεπέρεως λευκοῦ, σμύρνης, λιβάνου, ἑκάστου ἀνὰ ‹ η′. ἕψε τὸν οἶνον καὶ τὸν χυλὸν, καὶ ὅταν τὸ τρίτον λειφθῇ, ἐπίβαλλε τὸ μέλι, καὶ ὅταν συστραφῇ, ἐπίβαλλε τὰ ξηρὰ καὶ μίξας ἐπιμελῶς κατέρα εἰς ἀγγεῖον ὑελοῦν καὶ δίδου μύστρον πρὸ τροφῆς. ἄλλο Σκριβωνίου Λάργου. ⁊ πρασίου χυλοῦ ξε. στ′. ἀειζώου χυλοῦ τὸ ἴσον, μέλιτος Ἀττικοῦ ξε. δ′. ἢ ἕνα, οἴνου Ἰταλικοῦ ξε. α′. πίσσης ὑγρᾶς βρυτίας τὸ ἴσον, νάρδου Ἰνδικῆς, κρόκου, σμύρνης, λιβάνου, πεπέρεως λευκοῦ, ἑκάστου ἀνὰ ‹ η′. σκεύαζε καὶ χρῶ καθὰ προείρηται. ἄλλο φθισικοῖς καὶ ῥευματιζομένοις τὸν
13.99 θώρακα. ⁊ σικύου ἡμέρου σπέρματος λελεπισμένου ‹ η′. ἀμύλου ‹ δ′. λινοσπέρματος, μήκωνος λευκοῦ σπέρματος ἀνὰ ‹ β′. κόψας καὶ σήσας ἀναλάμβανε ἀποβρέγματι τραγακάνθης, ποίει τροχίσκους ‹ α′. ἄγοντας καὶ δίδου τριώβολον, ἀπυρέτοις δι᾽ οἴνου καὶ μύρτου ἀποβρέγματος, πυρέττουσι ῥοὸς χυλῷ. ἄλλο. ⁊ ἀμύλου ‹ δ′. σικύου ἡμέρου σπέρματος πεφωγμένου, μήκωνος λευκοῦ σπέρματος πεφωγμένου, ἀμυγδάλων κεκαθαρμένων ἀνὰ ‹ β′. τραγακάνθης ‹ α′. καὶ τριώβολον, κρόκου ‹ α′. ἀναλάμβανε τραγακάνθης ἀποβρέγματι. μετὰ ταῦτα καὶ Σκυβελίτου ἀφεψημένῳ καὶ χρῶ ὁμοίως.

Ἄλλο Σκριβωνίου Λάργου καταπότιον, φθισικοῖς, ἀναφορικοῖς, ἐμπυϊκοῖς, ὑμένας ἀνάγει, ἀνακαθαίρει ἱκανῶς. δεῖ δὲ ἐπιμένειν τῷ φαρμάκῳ. ⁋ Σαγαπηνοῦ, σμύρνης ἀνὰ ʃ β′. ὀπίου, καρδαμώμου ἀνὰ ʃ δ′. καστορίου ʃ δ′. πεπέρεως λευκοῦ τριώβολον, ἀναλάμβανε γλυκεῖ καὶ ποίει καταπότια, δίδου δι᾽ ὕδατος θερμοῦ πίνειν κυάθους γ′. ἄλλη θεσπεσιανὴ, ἐμπυϊκοῖς, ποιεῖ καὶ πρὸς τὰ ἐν κατακαλύψει ἀποστήματα. ⁋
13.100 σελίνου σπέρματος, ὀπίου, μελανθίου ἀνὰ ʃ γ′. καστορίου ʃ β′. δαύκου σπέρματος, σίνωνος, ἴρεως, ἑκάστου ἀνὰ ʃ στ′. μέλιτι ἀφεψημένῳ ἀναλάμβανε καὶ δίδου καρύου Ποντικοῦ μέγεθος μεθ᾽ ὕδατος κυάθων τριῶν.

Ἄλλη Κόσου πρὸς τὰ δυσανάγωγα ὑγρὰ, ἐμπυϊκοῖς, περιπνευμονικοῖς. μάλιστα δὲ τοῖς παχέα καὶ κολλώδη ἀνάγουσι χρήσιμός ἐστιν. ⁋ Μέλιτος Ἀττικοῦ ἀφεψημένου, ὥστε κολλῶδες γενέσθαι, λίτραν μίαν, πεπέρεως κεκομμένου καὶ σεσησμένου, σμύρνης ἀνὰ γο α′. ἀναλάμβανε τὴν σμύρναν λεάνας καὶ πέπερι μέλιτι ἐφθῷ καὶ δίδου καρύου Ποντικοῦ τὸ μέγεθος εἰς καταπότια. ἐν ἄλλαις γραφαῖς ἔχει σμύρνης ʃ β′. μέλιτος ἐφθοῦ λίτραν α′. πεπέρεως γο α′. ὀποπάνακος ἀνὰ ʃ στ′. σκεύαζε καὶ δίδου ὁμοίως καθὰ προείρηται.

Τροχίσκος ὁ διὰ τοῦ μανδραγόρου, ἐπιγράφεται σφραγίς. ποιεῖ πρὸς αἱμοπτυϊκοὺς, ἀναφορικοὺς, ἐμπυϊκοὺς, ἔστι δὲ καὶ ἀναξηραντικὸς παντὸς ῥεύματος. ⁋ Μανδραγόρου ῥίζης φλοιοῦ ʃ δ′. ὑοσκυάμου σπέρματος ʃ δ′. λιβάνου ἄρρενος, ὀποῦ μήκωνος, κρόκου, σμύρνης ἀνὰ ʃ
13.101 ε′. λεῖα ποιήσας, ποίει τροχίσκους ὀβολιαίους καὶ δίδου καταλλήλως ταῖς διαθέσεσιν. ἄλλο Πτολεμαίου γνωρίμου. ⁋ στύρακος, ὀπίου, λιβάνου, κρόκου ἀνὰ ʃ ε′. μανδραγόρου φλοιοῦ, ὑοσκυάμου λευκοῦ σπέρματος, δαύκου Κρητικοῦ ἀνὰ ʃ δ′. κασσίας ʃ β′. οἴνῳ Ἀμιναίῳ ἀναλάμβανε καὶ δίδου ὀβολὸν μεθ᾽ ὕδατος θερμοῦ κυάθων β′. ἄλλο πρὸς τὰς αὐτὰς διαθέσεις. ⁋ στύρακος ʃ στ′. σμύρνης, ὀπίου, ὑοσκυάμου σπέρματος, ἐρυσίμου πεφωγμένου ἀνὰ ʃ δ′. μανδραγόρου φλοιοῦ, ὀποπάνακος ἀνὰ ʃ β′. πεπέρεως λευκοῦ, νίτρου ἀφροῦ ἀνὰ ʃ α′. μέλιτι ἐφθῷ ἀναλάμβανε καὶ δίδου ἐρεβίνθου τὸ μέγεθος.

Ἄλλη πάγχρηστος λεγομένη, ποιεῖ βήττουσι χρονίως, ἐμπύοις, ὀρθοπνοϊκοῖς, φθοϊκοῖς. ποιεῖ πρὸς ὑποχονδρίων διατάσεις καὶ πρὸς πᾶσαν ἐμπνευμάτωσιν καὶ γυναιξὶν ἔμμηνα καὶ ἐγκαταλείμματα ἐκ φθορᾶς ἢ τόκου δεύτερα κατάγει, ἀπαλλάττει καὶ τὰς περὶ κύστιν διαθέσεις. ⁋ Τερμινθίνης ʃ η′. στύρακος ʃ στ′. σμύρνης ʃ ε′. κρόκου,
13.102 ἴρεως, χαλβάνης ἀνὰ ʃ δ′. ὑοσκυάμου σπέρματος, μανδραγόρου φλοιοῦ, ἐρυσίμου πεφωγμένου, ὀποπάνακος ἀνὰ ʃ β′. πεπέρεως, ἀφρονίτρου ἀνὰ ʃ α′. γλυκεῖ ἀναλάμβανε.

Χαριξένους περιπνευμονικοῖς, φθισικοῖς, ἀναφορικοῖς, ἐμπυϊκοῖς, αἱμοπτυϊκοῖς, βήττουσι χρονίως. ⁋ Σμύρνης, λιβάνου φλοιοῦ, ἐν ἄλλῳ καὶ ὀπίου καὶ μανδραγόρου, σαγαπηνοῦ, ὑοσκυάμου λευκοῦ σπέρματος, ὀποπάνακος, δικτάμνου Κρητικοῦ, πρασίου τῶν σφαιρίων ἀνὰ ʃ δ′. ὕδατι φυράσας, ἀνάπλαττε τροχίσκους, δίδου τριώβολον καὶ μελικράτου κυάθους γ′. ἄλλη Ἀσκληπιάδου ἐπικληθέντος φιλοφυσικοῦ φάρμακον ἐπιτετευγμένον. ⁋ μανδραγόρου φλοιοῦ, σελίνου σπέρματος ἀνὰ ʃ δ′. σμύρνης, κρόκου, ἀνίσου, δαύκου σπέρματος, ῥοῦ ἐρυθροῦ τοῦ χυλοῦ, ὑοσκυάμου σπέρματος, πεπέρεως λευκοῦ, καστορίου, σαγαπηνοῦ, ὀποπάνακος ἀνὰ ʃ β′. μέλιτι ἐφθῷ ἀναλάμβανε καὶ δίδου πρὸς δύναμιν. τὸ δὲ ὑγρὸν ἔστω κατάλληλον τῇ διαθέσει.

Ἀντίδοτος θεσπεσιανὴ, φθισικοῖς, ἀναφορικοῖς, ἐμπυϊκοῖς. ποιεῖ καὶ πρὸς τὰς ἄλλας τῶν ἐντὸς διαθέσεις, πρὸ παντὸς δὲ εὐορέκτους πρὸς τροφήν.
13.103 ⁋ Σελίνου σπέρματος ʃ ιβ′. σμύρνης, ἀνίσου, ὀπίου ἀνὰ ʃ στ′. πεπέρεως λευκοῦ ʃ ε′. πετροσελίνου, νάρδου, πεπέρεως μακροῦ ἀνὰ ʃ δ′. καστορίου, σχοίνου ἄνθους, κρόκου ἀνὰ ʃ γ′. κινναμώμου ʃ β′. κασσίας ἀρωματιζούσης ʃ δ′. μέλιτι ἐφθῷ ἀναλάμβανε καὶ δίδου καρύου Ποντικοῦ τὸ μέγεθος εἰς νύκτα μεθ᾽ ὕδατος κυάθων γ′.

Ἀντίδοτος ἡ Ἀριστάρχου, δύναμις θαυμαστικὴ, ταύτην Παυλίναν ὀνομάζομεν, ποιεῖ αἱμοπτυϊκοῖς, βήσσουσι, φθισικοῖς, ἐμπυϊκοῖς, περιπνευμονικοῖς πρὸς σπάσματα, ῥήγματα. πρὸς τὰς τοῦ στομάχου ἀνατροπὰς καὶ πρὸς χολέραν, κοιλιακοῖς, δυσεντερικοῖς, ποιεῖ πρὸς τὰς περὶ κύστιν διαθέσεις, ὑστερικῶς πνιγομένας. πρὸς τοὺς κατὰ περίοδον πυρετοὺς, πρὸ μιᾶς ὥρας τῆς ἐπισημασίας διδομένη, ποιεῖ καχεκτικοῖς,

ἀτροφοῦσι. πρὸς τὰ θανάσιμα τῶν φαρμάκων καὶ τὰς τῶν ἰοβόλων πληγάς. ⁋ Κινναμώμου, κόστου, χαλβάνης, καστορίου, ὀποῦ μήκωνος, πεπέρεως μέλανος καὶ μακροῦ, στύρακος ἀνὰ ‹ α΄. μέλιτος ξε. α΄. τὰ ξηρὰ
13.104 κόπτεται καὶ σήθεται λεπτοτάτῳ κοσκίνῳ, ἡ δὲ χαλβάνη ἕψεται μετὰ μέλιτος. καὶ ὅταν διαλυθῇ, διυλίζεται τὸ μέλι καὶ τούτῳ ἐπιβάλλεται τὰ λοιπὰ καὶ ἀνακόπτεται, εἶτα ἀποτίθεται εἰς πυξίδα ὑελίνην ἢ ἀργυρὰν καὶ χρώμεθα πρὸς τὰς εἰρημένας διαθέσεις. ἡ δόσις κυάμου Αἰγυπτίου τὸ μέγεθος μεθ’ ὑδρομέλιτος κυάθων β′. ἐπιρραινομένων τῷ δακτύλῳ ὄξους σταγόνων θ′.

Ἄλλη Ἀντωνίου Μούσα, πανάκεια. ἐχρήσατο Διόγας ἰατραλείπτης. ποιεῖ τοῖς κατὰ περίοδον ὑπὸ ῥίγους ὀχλουμένοις, ἀνασκευάζει χρονίους πυρετοὺς καὶ τὰ λοιπὰ νοσήματα, ποιεῖ βήσσουσι χρονίως, φθισικοῖς, ἀναφορικοῖς, ἐμπυϊκοῖς, δυσπνοϊκοῖς, πρὸς σπάσματα, ῥήγματα, κεχρονισμένας ἐμπνευματώσεις. σπληνικοῖς, ὑδρωπικοῖς κεχρονισμένοις, κοιλιακοῖς. κατάγει τοὺς ἐν νεφροῖς λίθους, ἔστι δὲ καὶ διουρητικὴ ἀγαθή. ποιεῖ καὶ πρὸς παντὸς ἑρπετοῦ πληγὴν καὶ πρὸς τὰ θανάσιμα τῶν φαρμάκων καὶ πρὸς πᾶσαν φθοροποιὸν ὕλην. ⁋ Πεπέρεως λευκοῦ ἢ μακροῦ ‹ η΄. ὑοσκυάμου λευκοῦ σπέρματος, καρδαμώμου, σμύρνης, λιβάνου ἀνὰ ‹ ιβ΄. ὀπίου, κρόκου ἀνὰ ‹ ι΄. θείου ἀπύρου ‹ στ΄.
13.105 κόστου, ἀριστολοχίας μακρᾶς, μανδραγόρου φλοιοῦ ἢ τῶν μήλων ἢ τῶν φύλλων, εὐφορβίου ἀνὰ ‹ γ΄. μέλιτος Ἀττικοῦ ἀφεψημένου, ὅσον ἐξαρκεῖ. ἡ δόσις τοῖς κατὰ περίοδον ὀχλουμένοις, καρύου Ποντικοῦ τὸ μέγεθος, τοῖς δὲ λοιποῖς πρὸς δύναμιν.

Ἄλλη Κερουσιανή. ἐδόθη ὑπὸ Φιλίππου Τραλλιανοῖς. ταύτῃ χρώμενος, φθισικοὺς, ἐμπυϊκοὺς ἀπήλλαττεν. Πεπέρεως λευκοῦ, ὀποῦ Κυρηναϊκοῦ, Συριακοῦ, ὀποῦ μήκωκος ἀνὰ γο γ . σμύρνης, κρόκου, θείου ἀπύρου, ὑοσκυάμου λευκοῦ σπέρματος ἀνὰ γο . μανδραγόρου μήλων β . καρδαμώμου γο α . μέλιτος Ἀττικοῦ λίτραν α . ἡ δόσις πρὸς δύναμιν καθὰ προείρηται. ὡς ἐν ἑτέρῳ ἀντιγράφῳ ἐγέγραπτο. πεπέρεως γο γ . ὀποῦ Κυρηναϊκοῦ γο α . ὀποῦ μήκωνος γο . ὀποῦ Συριακοῦ γο . κρόκου γο α . θείου ἀπύρου γο . σμύρνης γο . ὑοσκυάμου λευκοῦ σπέρματος, μανδραγόρου μήλων ἀνὰ β .

καρδαμώμου γο α . μέλιτος Ἀττικοῦ λίτραν α . ἡ δόσις πρὸς δύναμιν καθὰ προείρηται.

13.106 Περὶ ὀρθοπνοίας. Τοὺς ἄνευ τοῦ πυρέττειν ἀναπνέοντας πυκνὸν, ὁποῖον οἱ δραμόντες ὠκέως, ἀπὸ τοῦ συμπτώματος ὀνομάζειν ἔθος ἐστὶ τοῖς ἰατροῖς ἀσθματικοὺς, τοὺς δ' αὐτοὺς τούτους ἀφ' ἑτέρου συμπτώματος ὀρθοπνοϊκοὺς καλοῦσιν, ἐπειδὴ διὰ παντὸς ἀναγκάζονται τὸ τοῦ θώρακος σῶμα πᾶν ὄρθιον ἔχειν, φόβῳ τοῦ πνιγῆναι, καὶ τήν γε στρωμνὴν ἐν τοῖς ἄνω μέρεσιν, οἷς ὁ θώραξ ἐπικλίνεται, παρασκευάζουσιν ἑαυτοῖς ὀρθοτέραν, ὅπως μὴ πνιγῶσι κοιμώμενοι. τὸ γὰρ εἰσπνεόμενον αὐτοῖς ἔλαττόν ἐστιν ἢ κατὰ τὴν χρείαν τῆς ἀναπνοῆς, καίτοι διαστελλομένου τοῦ θώρακος ἐπιπλεῖστον, ᾧ καὶ δῆλον ἐντὸς αὐτοῖς στενοχωρίαν γενέσθαι τινὰ παρὰ φύσιν, ἧς ἐναργῶς καὶ οἱ πάσχοντες αὐτοὶ τὴν αἴσθησιν ἔχουσι. γίνεται μὲν οὖν καὶ τοῖς ἐμπυϊκοῖς ὀνομαζομένοις ἡ στενοχωρία, διὰ τὸ μεταξὺ θώρακός τε καὶ πνεύμονος ἠθροισμένον ὑγρόν. γίνεται δὲ καὶ τοῖς περιπνευμονικοῖς διὰ τὴν τοῦ πνεύμονος φλεγμονήν. ὑπόλοιποι δέ εἰσι δύο διαθέσεις αἱ στενοχωρίαν ἐργαζόμεναι ταῖς ὁδοῖς τοῦ εἰσπνεομένου πνεύματος, ὅταν ἤτοι πλῆθος
13.107 ὑγρῶν παχέων τε καὶ γλίσχρων ἐμπλασθῇ τοῖς βρογχίοις τοῦ πνεύμονος ἤ τις ὄγκος ἀποστηματικὸς ἐν αὐτῷ συστῇ. καὶ ἥ γε θεραπεία τὸ μέν τι κοινὸν ἔχει τῶν διαθέσεων ἀμφοτέρων, τὸ δέ τι καὶ καθ' ἕτερον ἴδιον· κοινὸν μὲν ἐκδαπανῆσαι καὶ ἀναλῶσαι τὴν περιουσίαν τῆς τὰ πάθη γεννώσης ὑγρότητος, ἴδιον δὲ τῆς μὲν τῶν γλίσχρων τε καὶ παχέων ὑγρῶν διὰ τῶν λεπτυνόντων τε καὶ ῥυπτόντων φαρμάκων, τῆς δὲ τῶν ἀποστηματικῶν ὄγκων διὰ τῶν λεπτυνόντων τε καὶ ξηραινόντων, ἥ τις αὖ πάλιν πᾶσι τοῖς ἐν τῷ βάθει τοῦ σώματος ἀποστήμασίν ἐστι κοινή. οἴνου μὲν οὖν πόσις ἀμφοτέραις ἁρμόζει λεπτοῦ τῇ συστάσει, τὸ δὲ σύμπαν ποτὸν ὀλίγον μὲν οἷς ἀπόστημά που γίνεται, πολὺ δὲ οἷς ἐμπέφρακται τὰ βρογχία τοῖς γλίσχροις ὑγροῖς καὶ παχέσιν. τὰ γὰρ ἀπορρύπτοντα τοὺς τοιούτους αὐτῶν χυμοὺς φάρμακα κινεῖ μὲν ἐξ ἀνάγκης βῆχας, οὐκ εὐκόλως δὲ ἀναπτύεται τὸ ἀπορρυπτόμενον διὰ τὸ πάχος. ὑγρότητος οὖν αὐτοῖς δεῖ πλείονος, ὡς ἀναφέρεσθαι ῥᾳδίως.
13.108 καθάπερ δὲ ἐν τοῖς ἄλλοις φαρμάκοις ἀδιορίστως οἱ πλεῖστοι τῶν ἰατρῶν, οὕτω κἀν τοῖς πρὸς ταῦτα ἀμφότερα χρησίμοις ἁμαρτάνουσιν.

καὶ μὲν δὴ καὶ σύγκειται τινὰ μὲν τῶν φαρμάκων θατέρῳ τῶν παθῶν χρήσιμα, τινὰ δὲ θατέρῳ, τινὰ δὲ ὡς πρὸς ἄμφω μὲν ἁρμόττειν μετρίως, ἀξιόλογον δὲ μηδὲν ὠφελεῖν. ἐπισημανοῦμαι δὲ καθ' ἕκαστον ὧν ἔγραψαν οἱ πρὸ ἐμοῦ φαρμάκων ἀξιολόγων, ὁποῖα τὴν δύναμίν ἐστιν, ἀρξάμενος ἀπὸ τῶν ὑπ' Ἀσκληπιάδου γεγραμμένων ἐν τῷ δευτέρῳ τῶν ἐντός.

Τὰ ὑπ' Ἀσκληπιάδου γεγραμμένα δυσπνοϊκοῖς φάρμακα. Ἐκλεικτὸν δυσπνοϊκοῖς Ἀντωνίου Μούσα. ὄνων τῶν ὑπὸ ταῖς ὑδρίαις ξέστην α′. ἐμβαλὼν εἰς ἄγγος κεραμεοῦν φρῦγε ἐπ' ἀνθράκων, λευκανθέντας δὲ τρῖβε καὶ μέλιτι ἐφθῷ ἀναλάμβανε καὶ δίδου μύστρον ἐκλείχειν πρὸ τροφῆς. ἄλλο. σκίλλης ὠμῆς τὸν χυλὸν ἔκθλιβε, τούτῳ παραμέτρει μέλιτος Ἀττικοῦ τοσόνδε καὶ θεὶς ἐπ' ἀνθράκων ἕψε καὶ δίδου μύστρον πρὸ τροφῆς καὶ μετὰ τροφήν. ἄλλο Χαριξένους. ℞ ὀριγάνου ‹ η′. θύμου
13.109 κόμης, ἴρεως Ἰλλυρικῆς, καλαμίνθης ξηρᾶς, πεπέρεως λευκοῦ, ἀνίσου πεφωγμένου ἑκάστου τοσόνδε, κόπτε καὶ σῆθε λεπτοτάτῳ κοσκίνῳ καὶ ἀναλάμβανε μέλιτι ἐφθῷ, δίδου δὲ καρύου Ποντικοῦ τὸ μέγεθος. ἄλλο. ℞ πεπέρεως λευκοῦ λίτραν α′. λιβυστικοῦ γο δ′. καλαμίνθης ξηρᾶς, ἀνίσου πεφωγμένου, γλήχωνος ἀκάρπου ἀνὰ γο γ′. σελίνου σπέρματος καὶ θύμου κόμης ἀνὰ γο α′. ἀναλάμβανε μέλιτι καὶ σκευάσας χρῶ καθὰ προείρηται.

Πόμα δυσπνοϊκοῖς, Χαρικλέους, φάρμακον ἐπιτετευγμένον, ὠφελεῖ παραχρῆμα. ℞ Σταφίδος Ῥοδίας, χωρὶς τῶν γιγάρτων, ὀξύβαφον, τήλεως πεπλυμένης τὸ ἴσον, ὕδατος ὀμβρίου ξε. α′. ἕψε μέχρι διαλύσεως καὶ τὸ ὑγρὸν διηθήσας ἀπόθου. ἐκ τούτου δίδου θερμαίνων συνεχῶς καὶ καθ' ἑκάστην ἐπισημασίαν κυάθου τὸ πλῆθος. ἄλλο. ℞ ἀβροτόνου μέρη δύο, σταφίδος λιπαρᾶς τὸ ἴσον, πηγάνου ἀκρεμόνων μέρος ἓν, ὕδατος ὀμβρίου ξε. γ′. ἕψε εἰς τὸ τρίτον καὶ τὸ ὑγρὸν ἔκθλιβε, καὶ τούτῳ ἐπιβαλὼν μέλιτος γο ι′. πάλιν ἕψε καὶ δίδου καθὰ προείρηται. καταπότιον
13.110 δυσπνοϊκοῖς, ἀσθματικοῖς. ℞ ἀβροτόνου, πηγάνου ἀκρεμόνων, ἀψινθίου κόμης ἀνὰ ‹ δ′. κόψας καὶ σήσας, ὄξει φυράσας ποίει καταπότια δεκαδύο καὶ δίδου μετ' ὀξυμέλιτος. ἄλλο Νικηράτου. ℞ καστορίου, ἀμμωνιακοῦ

θυμιάματος, ἀβροτόνου ἀνὰ ‹ α′. ἀψινθίου, κυμίνου Αἰθιοπικοῦ ἀνὰ ‹ α′. ὄξει φυράσας ἀνάπλαττε καταπότια καὶ δίδου ἐρεβίνθου τὸ μέγεθος.

Τὸ διὰ θείου ἀπύρου δυσπνοϊκοῖς. ⁋ Ἀνίσου, θείου ἀπύρου ἀνὰ γο γ′. ἀμμωνιακοῦ θυμιάματος, καστορίου, μελανθίου ἀνὰ ‹ δ′. ὕδατι διαλύσας, ποίει καταπότια καὶ δίδου ἓν δι᾽ ὀξυμέλιτος κυάθων τριῶν. ἄλλο. ⁋ πηγάνου ἀγρίου σπέρματος ‹ δ′. ἀριστολοχίας, ἀβροτόνου, ἀψινθίου, ἀμμωνιακοῦ θυμιάματος, θείου ἀπύρου, ἑκάστου τὸ ἴσον, ὄξει φυράσας ἀνάπλαττε καταπότια ἐρεβίνθου τὸ μέγεθος καὶ δίδου δύο μετ᾽ ὀξυμέλιτος θερμοῦ κυάθων γ′. ταῦτα πάντα τὰ φάρμακα τὰ ὑπ᾽ Ἀσκληπιάδου γεγραμμένα τοῖς ἰδίως δυσπνοϊκοῖς ὀνομαζομένοις ἁρμόζει. καλοῦσι δὲ οὕτως, ὅσοις ἐμπέπλησται τὰ βρογχία τοῦ πνεύμονος
13.111 ὑγρῶν παχέων τε καὶ γλίσχρων, ἐφ᾽ ὧν, ὡς ἔφην, μετὰ τοῦ τέμνεσθαι καὶ λεπτύνεσθαι τὸ πάχος τε καὶ τὴν γλισχρότητα τῶν χυμῶν ὑγρότητός τι δεῖ προσεῖναι τοῖς φαρμάκοις καὶ τῇ διαίτῃ. τὰ δὲ ἀποστήματα τῶν λεπτυνόντων καὶ ξηραινόντων δεόμενα χαίρει μάλιστα ταῖς τῶν ἀρωμάτων δυνάμεσιν, ἃς ἐπεδείξαμεν ἁπάσας εἶναι λεπτομερεῖς τε καὶ ξηραντικὰς μετὰ τοῦ θερμαίνειν, ὥστε τοῖς ἰδίως λεγομένοις ὀρθοπνοϊκοῖς τε καὶ ἀσθματικοῖς ἁρμόσει τὰ τέμνοντα φάρμακα χωρὶς τοῦ θερμαίνειν, καὶ διὰ τοῦτο μάλιστα αὐτοὺς ὀνίνησιν ὄξος τὸ σκιλλητικὸν ὀνομαζόμενον, αὐτή τε ἡ σκίλλα καὶ τὸ διὰ τοῦ τοιούτου ὄξους ὀξύμελι. τῶν δὲ ὑπὸ τῆς ὑδρίας ὄνων μέμνηται ἐπ᾽ αὐτῶν ὡς λεπτυντικὴν ἐχόντων καὶ διαφορητικὴν δύναμιν. ἐκ τίνος δὲ ἐννοίας ἐπὶ τὴν χρῆσιν αὐτῶν ἦκεν οὐκ ἔχω φάναι. καθάπερ δὲ τὸ θερμαῖνον σφόδρα φυλακτέον ἐστὶν ἐπὶ τοῦ τοιούτου πάθους, διὰ τὸ τοὺς γλίσχρους τε καὶ παχεῖς χυμοὺς οὐ μόνον οὐδὲν ὀνίνασθαι πρὸς αὐτῶν, ἀλλὰ καὶ
13.112 βλάπτεσθαι, τὸν αὐτὸν τρόπον ὅσα ψύχει σφοδρῶς φυλάττεσθαι χρή. παχύνει γὰρ ἅπαντα καὶ συνάγει τοὺς χυμοὺς καὶ δυσαπονίπτους ἐργάζεται, καὶ διὰ τοῦτο καλῶς ἐποίησαν οἱ συνθέντες τὰ τοιαῦτα φάρμακα μήτε μήκωνος ὀπὸν μήτε μανδραγόρου χυλὸν ἢ τῆς ῥίζης φλοιὸν ἢ ὑοσκυάμου σπέρμα μίξαντες ἢ κωνείου ἢ ψυλλίου ἢ λινοσπέρμου, πολὺ δὲ μᾶλλον οὐδὲ τῶν στυφόντων τι φαρμάκων. ἐναντιώτατα γάρ ἐστι ταῖς τοιαύταις διαθέσεσιν, ὡς ὁρᾶτε.

Τὰ ὑπ᾽ Ἀνδρομάχου γεγραμμένα φάρμακα πρὸς τὰς τοιαύτας διαθέσεις. Πρὸς δύσπνοιαν. ⳨ θείου ἀπύρου δραχμὴν μίαν, πηγάνου ἀγρίου σπέρματος δραχμὴν μίαν, ἀριστολόχου, ἀψινθίου, ἀμμωνιακοῦ θυμιάματος, ἀβροτόνου, ἀνὰ ⸂ δ΄. λεάνας ὄξει ἀνάπλαττε ἡλίκα κύαμος, δίδου πρωΐ τρεῖς καὶ ὀψὲ τρεῖς. ἄλλο πρὸς δύσπνοιαν, ὡς Ἀλκίμιος. ⳨ κολοκυνθίδος σαρκὸς τριώβολον, πάνακος τριώβολον, ἀνίσου ὀβολὸν α΄. ἀναλάμβανε ὕδατι καταπότια δ΄. καὶ ξηράνας δίδου ὀβολόν. πρὸ μιᾶς δὲ
13.113 κενούσθω ἁπλῷ κενώματι. ἄλλο. ⳨ κολοκυνθίδος ⸂ α΄ ΄΄. Ἰλλύριδος ⸂ β΄. ὀποπάνακος ῥίζης ⸂ β΄. ἀβροτόνου ⸂ α΄. νίτρου ⸂ α΄. οἱ δὲ τριώβολον, ὕδατι ἀναλάμβανε καὶ ποίει κυάμου μέγεθος. ἡ δόσις δ΄. διαστήσας ἡμιώριον, δίδου μελικράτου κοτύλης ΄΄. ἄλλο. ⳨ νάπυος ⸂ α΄. ἁλὸς κοινοῦ τριώβολον, ἐλατηρίου τριώβολον, οἱ δὲ ὀβολὸν α΄ ΄΄. λεάνας μεθ᾽ ὕδατος, ἀνάπλαττε τροχίσκους ὀκτὼ παρ᾽ ἡμέραν μεθ᾽ ὑδρομέλιτος. ἄλλο. ⳨ ἀμμωνιακοῦ θυμιάματος ⸂ α΄. ἀβροτόνου ⸂ β΄. θείου ἀπύρου ⸂ α΄. σὺν ὕδατι ἀνάπλαττε τροχίσκους καὶ δίδου σὺν ὑδρομέλιτι κυάθους τρεῖς. ἄλλο πρὸς ὀρθοπνοϊκούς. ⳨ ἐλατηρίου ἡμιωβόλιον, ὄνους τοὺς ἀπὸ τῶν κοπρίων γ΄. λεάνας ὁμοῦ τὸ ἥμισυ δίδου σὺν ὕδατος κυάθῳ ἑνί. ἄλλο, ὡς Φιλῖνος πρὸς ἆσθμα καὶ δύσπνοιαν. ⳨ καρδαμώμου ⸂ γ΄. ἴρεως ⸂ α΄ ΄΄. πάνακος ⸂ α΄. ΄΄. κασσίας ⸂ α΄ ΄΄. στρουθίου ⸂ α΄ ΄΄. στύρακος ⸂ β΄. θύμου ⸂ η΄. πηγάνου ἀγρίου σπέρματος ⸂ η΄. ἀβροτόνου ⸂ η΄. ἀριστολοχίας κληματίδος, θείου ἀπύρου, ἀμμωνιακοῦ θυμιάματος ἀνὰ ⸂
13.114 η΄. σὺν ὄξει δριμεῖ, ποιήσας πάχος κηρωτῆς, δίδου κυάμου Αἰγυπτίου μέγεθος ἐν ὕδατος κυάθοις τρισί. πρὸς ὀρθόπνοιαν ὡς Ἀπολλώνιος. ⳨ σκίλλης μέρος α΄. θείου ἀπύρου, ἀσφάλτου ἀνὰ μέρος α΄. ἡ δόσις τριώβολον ἐν ὀξυμέλιτι. πρὸς ὀρθόπνοιαν παρὰ Σωσικράτους. ⳨ ὀποπάνακος ⸂ α΄. σμύρνης ⸂ α΄. πεπέρεως κόκκους μ΄. πηγάνου δεσμίδιον, ὅσον τοῖς δυσὶ δακτύλοις, ποιήσας λεῖα ἀνάπλαττε καταπότια εἴκοσι καὶ δίδου πρωΐ ἓν καὶ δείλης ἕν, πυρέσσουσιν ἐν ὕδατος κυάθοις δυσὶν, ἀπυρέτοις μετ᾽ οἴνου. πρὸς ὀρθόπνοιαν Ἀνδρονίκου. ⳨ θείου ἀπύρου τριώβολον, ἀμμωνιακοῦ θυμιάματος ⸂ α΄. ἀνίσου, σμύρνης, καστορίου ἀνὰ ⸂ α΄. κυμίνου Αἰθιοπικοῦ ⸂ α΄. μεθ᾽ ὕδατος ἀνάπλασσε τροχίσκους ἀνὰ γράμματα τρία ἢ τέσσαρα, εἰς κοίτην δίδου μεθ᾽ ὕδατος κυάθων β΄. πρὸς ὀρθοπνοϊκοὺς, βηχικοὺς, περιπνευμονικοὺς,

φθισικευομένους, δυσπνοοῦντας, ἡπατικοὺς, ὡς Εὐγένειος. ⳨ κρόκου ʿ η′. μίσυος ʿ δ′. δαφνίδων ʿ β′. πεπέρεως λευκοῦ καὶ μακροῦ ἀνὰ ʿ α′. ὀπίου ʿ γ′. κόστου τριώβολον, τερμινθίνης ὀβολοὺς ε′. χαλβάνης τριώβολον, γλυκείας χυλοῦ ὀβολοὺς δύο κόμμεως ὀβολὸν α′. μέλιτος
13.115 λίτραν ′′. δίδου κοχλιάριον ἓν μεθ’ ὕδατος κυάθων δυοῖν ἢ τριῶν· ἐὰν δὲ ἐπείγῃ, καὶ πρὸ τροφῆς καὶ μετὰ τροφήν. πρὸς ὀρθοπνοϊκοὺς Οὐάλεντος ⳨ ὀποπάνακος ʿ β′. κολοκυνθίδος σαρκὸς ʿ α′. ἡ τελεία δόσις ἔστω αὕτη. ἄλλη Ὀνήτρου. ⳨ καστορίου ʿ α′. ἀμμωνιακοῦ θυμιάματος ʿ β′. τούτου τὸ ἥμισυ διδόσθω μετὰ μελικράτου. πρὸς δύσπνοιαν τὸ τοῦ Ποδανίτου. ⳨ νάπυος ʿ α′. ἁλὸς ʿ α′. νίτρου τριώβολον, ποιήσας ὀκτὼ καταπότια, δίδου εἰς νύκτα δύο καὶ διαλείπων ἡμέραν, εἶτα καὶ ἓξ δίδου, ἀναλάμβανε ὕδατι.

https://eulogikon.org/works/galen-pergamon-drugs-by-places-book-7-qmm-gu · eul_wid qmm-gu · Diogenes Lab reading page 9d4bb19ad746